τοῦ λόφου, τοῦ ἐπονομαζομένου τῶν Σχοινοβατῶν· ἧς ἐν τῷ τείχει ἐπὶ πέτρας εἰσὶ γράμματα Ἑλληνικὰ διὰ τὴν πολυκαιρίαν τὰ πλείω διεφθαρμένα, περιέχοντα τὰ ἑξῆς :

ΑΓΑΘΗ ΤΥΧΗ
ΥΠΕΡ ΤΗΣ ΤΩΝ ΑΥΤΟΚΡΑΤΟΡΩΝ
ΝΙΚΗΣ ΚΑΙ ΤΩΝ. . . . .ΥΔΙΑΜΟΝΗΣ
ΜΑΥΡΗΛΙΟΥ. .ΛΑΙΤΩΝ Ε ΙΙΙ ΚΑΙΛ
ΑΥΡΗΛΙΟΥΟ-Ν ΡΟΥ ΑΡΜΕΝΙΑΚΩΝ
ΦΙΛΙΣΚΟΣ Κ . . . . . ΙΟΣΑΡΚΟ. . .
. . . ΑΝΕΘΗΚΕ ΑΡΤΕΜΕΙΣΙΑΔΙ ΜΕ
ΤΑ ΙΕ — ΡΟΣΙ ΙΗΝ ΕΚΙ . . . .
ΚΟΥΝΤΟΣ ΑΛΦΕΙΟΥΝΟΣ ΕΝΩΝΙΟΥ
ΕΠΙΜΕΛΗΤΕΥΟΝΤΟΣ ΛΑΟΥ ΕΥ-
ΔΑΙΜΟΝΟΣ ΤΟΥ ΚΑΙ ΦΛΑΟΥΙΑΝΟΥ

» Καὶ ἐν ἑτέρᾳ πέτρᾳ τῆς αὐτῆς ἐκκλησίας.

ΤΥΧΗ
..... ΙΙΟΥ ΤΟΥ ΥΠΑΤΙΚΟΥ
ΤΩΥ . . . . . ΝΑΦΥΛΗΚΕΝΔΡΙΣΕΙΣ

Καὶ ἐν ἑτέρᾳ ἐκκλησίᾳ τῆς κοιμήσεως τῆς Θεοτόκου κατὰ τὸ μέσον τῆς πόλεως κειμένη, ὄπισθεν τοῦ ἁγίου βήματος αὐτῆς ἐν τῷ τείχει εἰσὶ γράμματα ἐπί τινος πέτρας περιέχοντα τάδε.

ΑΚΤΙΟΣ ΜΑΞΙΜΟΥ ΤΟΥΣ ΚΛΥΝΤΗ-
ΡΑΣ ΚΑΤΕΣΚΕΥΑΣΕΝ ΣΥΝΤΟΙΣ ΥΠΟ-
ΘΕΜΑΣΙΝΕΚΤΩΝ ΙΔΙΩΦΙΛΗ ΑΡΤΕ-
ΜΙΣΙΑΔΙ ΑΝΤΙ ΤΗΣ ΠΟΛΙΤΕΙΑΣ ΕΠΙ-
ΜΕΛΙΤΕΥΟΝΤΟΣ ΦΛΟΥΒΙΟΥ ΕΥΔΑΙ-
ΜΟΝΟΣ ΤΟΥ ΚΑΙ ΦΛΑΟΥΙΑΝΟΥ

Καὶ ἔντινι πανδοχείῳ λιθοκτίστῳ μολυβδοεσκεπασμένῳ, ἐν τῇ ἀγορᾷ κειμένῳ τῆς πόλεως, ἔστι τις δεξαμενὴ ὕδατος μεγίστη τετράπλευρος ἐκ λίθου, ἐφ' ἧς εἰσι ταῦτα γεγραμμένα.

ΕΡΕΝΝΙΟΣ ΗΡΑΚΛΙΑΝΟΣ ΓΕΡΟΥ-
ΣΙΑΣΤΗΣ ΦΙΛΙΠΟΥΠΟΛΙΤΗΣ ΕΚ
ΤΩΝ ΙΔΙΩΝ ΕΑΥΤΩΚΑΙ ΤΗΣ ΥΒΙ-
ΩΕΑΥΤΟΥ ΚΛΕΟΠΑΤΡΑ ΑΘΗΝΟΔΩ-
ΡΟΥ ΚΑΤΕΣΚΕΥΣΕ ΤΗΝ ΣΟ-
ΡΟΝΣΥΝ ΤΩ ΓΡΑΔΩ ΑΝΕΞΟΔΙΑ-
ΣΤΟΝ·ΟΣΑΝΔΕΙΙΩΛΗΣΙΔΩΣΙ ΔΩΕΙ ΤΩ
ΦΙΣΚΩ ΔΗΝΑΡΙΑ

Καὶ πρὸ χρόνων δέ τινων, ὅτε περιεφράγη ἡ πόλις τάφρῳ, κατεφάνησαν εἰς βάθος κατὰ τὸ νότειον μέρος τῆς πόλεως, σχήματα θεάτρου, τῶν καθισμάτων ὄντων κατεσκευασμένων ἐκ λίθων μεγίστων ἰσοπλεύρων· καὶ πέρυσιν ἔν τινι οἰκίᾳ κατ' ἐκεῖνο τὸ νότιον μέρος τῆς πόλεως, εὑρέθη τι ἔδαφος ἐστρωμένον διὰ ψηφίδων ποικίλων, καὶ συνεχῶς εἰς τὰ ἐρείπια τῆς πόλεως εὑρίσκονται μάρμαρα, τὰ μὲν ἔχοντα γεγλυμμένον ἔφιππόν τινα, καὶ μίαν κόρην πλησίον αὐτοῦ ἱσταμένην, τὰ δὲ κεφαλὴν βοὸς ἐστεφανωμένην· ἕτερα δὲ πάλιν ἀγάλματα κεράμεια εἰς σχῆμα κεφαλῆς Σατύρων· εὑρίσκονται δὲ σπανίως καί τινα μάρμαρα ἔχοντα γλυπτὸν τὸν Ἡρακλῆν μετὰ λέοντος παλαίοντα. Ἀλλ' ἔν τινι Μοναστηρίῳ τῶν Ἁγίων Ἀναργύρων Κουκλαίνης ἐπονομαζομένῳ, ἐν τῇ μάνδρᾳ τούτου τοῦ Μοναστηρίου εὑρίσκεται μία εἰκὼν τοιαύτη γλυπτὴ τοῦ Ἡρακλέους μετὰ λέοντος προσπαλαίοντος, ἥτις ἐστὶ τεχνικωτέρα ἁπασῶν· καὶ ἄλλα πολλὰ καὶ διάφορα κατὰ καιροὺς εὑρίσκονται ἐν τῇ πόλει, καὶ ἔξω τῆς πόλεως σημεῖα ἀρχαιότητος.

Τὸ δὲ χάραγμα τῶν νομισμάτων ταύτης τῆς πόλεως ἦν τοιοῦτον. (Πίν. Β') [1]

§. ιγ'. Ποταμὸς δ' ὁ παραῤῥέων τῇ πόλει, ἢ μᾶλλον εἰπεῖν διερχόμενος δι' αὐτῆς, ἐστὶν ὁ Ἕβρος· ὃς διέρχεται διὰ τῆς βορείου πλευρᾶς τῆς πόλεως, καὶ ἔστι τὸ πέραν τοῦ ποταμοῦ κείμενον τῆς πόλεως μέρος, συνημμένον διὰ γεφύρας ξυλίνης· ἡ δὲ περιφέρεια τῆς πόλεως ἁπάσης τὰ νῦν ἐστιν ἕως ὡρῶν τριῶν.

§. ιδ'. Οἱ ἐγκάτοικοι ταύτης τῆς πόλεώς εἰσι πέντε γένη, Τοῦρκοι, Χριστιανοὶ τοῦ ἀνατολικοῦ δόγματος, οἵτινες καὶ Ῥωμαῖοι καλοῦνται, Ἀρμένιοι, Μανιχαῖοι, ἤγουν οἱ κοινῶς λεγόμενοι Παυλικιάνοι ἀπὸ Παύλου καὶ Ἰωάννου τῶν υἱῶν τῆς Καλλινίκης (α), καὶ Ἑβραῖοι· οὓς πάντας εἴ τις εἰς δεκαπέντε διέλοι μέρη, τὰ μὲν ἕνδεκά εἰσι Τοῦρκοι, τρία δὲ ἀνατολικοὶ Χριστιανοί, ἤγουν Ῥωμαῖοι, καὶ τὸ λοιπὸν ἓν συμπληροῦσι τὰ λοιπὰ τρία γένη, οἱ Ἀρμένιοι, λέγω, οἱ Παυλικιάνοι, καὶ Ἑβραῖοι, ὧν ἕκαστος τὴν ἰδίαν προφέρει διάλεκτον· οἷον, οἱ μὲν Τοῦρκοι τὴν τουρκικήν, οἱ Ῥωμαῖοι τὴν ἁπλῆν ἑλληνικήν, οἱ Ἑβραῖοι τὴν ἑβραϊκήν, οἱ δὲ Παυλικιάνοι τὴν σλαβονικήν, ἤτοι τὴν βουλγαρικήν· οὐκ ὀλίγοι δ' ἐξ αὐτῶν εἰσιν εἰδήμονες τῆς ἰδίας αὐτῶν γλώσσης, οἱ δὲ πλείους τὴν τουρκικὴν προφέρουσιν· ἥτις καὶ ἐπικρατεῖ ὑπὲρ πάσας τὰς ἄλλας ἔν τε τῇ πόλει, καὶ ἐν πάσῃ τῇ Ἐπαρχίᾳ.

---

1) Σ.Δ. Ἐπιτάσσεται τοῦ ἔργου καὶ πίναξ νομισμάτων, τοῦ ὁποίου τὸ μέγεθος καὶ ἡ ὠχρότης δὲν μᾶς ἐβοήθησαν εἰς τὴν πραγματοποίησιν κλισὲ ὁλοσελίδου.

(α) Οὗτοι οἱ Παυλικιάνοι πρότερον κατῴκουν εἰς τὴν Ἀσίαν ἐν τοῖς ὁρίοις τῆς Ἀρμενίας, καὶ ὁ βασιλεὺς Ἰωάννης ὁ Τσιμισχὴς μετήνεγκεν αὐτοὺς ἀπὸ τῆς Ἀσίας, καὶ κατῴκισεν εἰς τὴν Ἐπαρχίαν Φιλιππουπόλεως, καὶ ἐκ ταύτης τῆς Ἐπαρχίας διεσπάρησαν καὶ εἰς ἄλλα μέρη τῆς εὐρωπαϊκῆς Τουρκίας· τὰ νῦν δὲ οὐκ ἀκολουθοῦσι τῷ δόγματι τῶν Μανιχαίων, ὑποσυρέντες πρὸ χρόνων τῷ δόγματι τῆς δυτικῆς Ἐκκλησίας, καὶ καθ' ὅλα εἰσὶ Παππίσται.

§. ιε'. Ἔστι δ' ἐν τῇ πόλει καὶ γυμνάσιόν τι τῆς ἑλληνικῆς παιδείας ἐκ πολλοῦ μὲν συνεστός, ἤδε δὲ διὰ τὸν ἀφανισμὸν τῶν πᾶσαν τὴν Ἐπαρχίαν ἀναστατούντων ληστῶν, ἢ μᾶλλον εἰπεῖν διὰ τὸ φιλόμουσον τοῦ νῦν ἀρχιερατεύοντος, πλείονος ἐπιμελείας ἀξιούμενον, τυχὸν δὲ σὺν Θεῷ καὶ ἀξιωθησόμενον. Τῶν δὲ Ὀθωμανῶν γυμνάσιά εἰσι πλείονα, Μεκτέπια ὑπ' αὐτῶν καλούμενα· διὸ οὐκ ὀλίγοι καὶ ἐξ αὐτῶν εἰσι παιδείας τρόφιμοι· πάντες δὲ ἁπλῶς οἱ ἐν τῇ πόλει Τοῦρκοι εἰσὶν ἐπιεικεῖς, καὶ ἥμεροι πρὸς τὰ ἄλλα γένη, φιλότεχνοί τε καὶ φιλέμποροι οὐχ ἧττον τῶν ἄλλων γενῶν· ἀλλ' ἐκ πάντων φιλεμπορώτεροί εἰσιν οἱ τοῦ ἀνατολικοῦ δόγματος Χριστιανοί, ἤτοι οἱ Ῥωμαῖοι· οἵτινες ἐμπορεύονται εἰς πολλὰ μέρη τῆς Εὐρώπης, καὶ τὸ πλεῖστον εἰς τὴν Ἀσίαν πᾶσαν· οὐκ ὀλίγοι δὲ καὶ εἰς τὰς Ἰνδίας ἀπέρχονται πραγματευόμενοι, ὅπου καὶ ἀποικία τανῦν οὐκ εὐάριθμός ἐστι Φιλιππουπολιτῶν.

§. ις'. Αἳ δὲ περὶ τὴν πόλιν κῶμαι, καὶ χῶραι, καὶ χωρία, αἵ τινες ὑποτελεῖς εἰσιν αὐτῇ τῇ πόλει, καὶ ἐν ταύτῃ μόνῃ τῇ Τοπαρχίᾳ Φιλιππουπόλεως περιέχονται, ἕως τῶν τριακοσίων ἑξήκοντα ἀριθμοῦνται· καὶ αἳ μὲν ὑπὸ Τούρκων μόνον εἰσὶν οἰκούμεναι, αἳ δὲ ὑπὸ Χριστιανῶν, αἳ δὲ πλείους ἀναμεμιγμέναι εἰσὶν ἐκ τούτων τῶν δύω γενῶν, τῶν Τούρκων τὸ πλεῖστον τοῦ ἀριθμοῦ, ὡς καὶ ἐν τῇ πόλει ἐχόντων· οὐδεμία δὲ νῦν κώμη, ἢ χώρα ταύτης τῆς Τοπαρχίας, ὡς καὶ ἁπάσης τῆς Ἐπαρχίας, ἔχει τὴν προτέραν αὐτῆς καλλονήν· διότι αἳ πλείους πρὸ χρόνων τινῶν ἀνάστατοι ὑπὸ τῶν ληστῶν γεγόνασιν, αἳ δὲ καὶ ἀπετεφρώθησαν· οὐκ ἀφῆκε μέντοι ἡ δίκη κἀκείνους ἀτιμωρήτους.

§. ιζ'. Περὶ τῶν κωμῶν οὖν καὶ χωρῶν τῆς Τοπαρχίας ταύτης ἔδει πρῶτον διαλαβεῖν· ἀλλ' ἐπειδὴ ἡ ἔκτασις αὐτῆς ἐπὶ πλεῖον διήκει, καὶ πολλαὶ κῶμαι, καὶ χῶραι αὐτῆς μεταξὺ τῶν ἄλλων κεῖνται Τοπαρχιῶν· διὰ τοῦτο βέλτιον ἂν εἴη περὶ ἁπάσης ὁμοῦ τῆς Ἐπαρχίας κατὰ τάξιν ἐρεῖν, καὶ προσθεῖναι ἐν ἑκάστῃ χώρᾳ, καὶ κώμῃ ἀπὸ τίνος Τοπαρχίας ἔχει τὴν διακράτησιν· ποιητέον δὲ τὴν ἀρχήν, ὅθεν δοκεῖ ἡ περιγραφὴ τῆς Ἐπαρχίας ταύτης ἀκριβεστέρα γενήσεσθαι· καὶ πρῶτον ῥητέον περὶ τῶν προϊόντων αὐτῆς, καὶ ὅση καὶ οἵα ἡ εὐμορφία ταύτης τῆς γῆς.

§. ιη'. Πᾶσα τοιγαροῦν ἡ Ἐπαρχία Φιλιππουπόλεως εὔφορός ἐστιν ἱκανῶς σίτου, καὶ ὀσπρίων διαφόρου εἴδους, ὡσαύτως οἴνου, καὶ ὀρύζης, καὶ σησάμου, καὶ μετάξης, ὧν γίνεται ἐξαγωγὴ καὶ εἰς ἄλλα πολλὰ μέρη· οὐχ ἡ σησάμη δὲ ἐξάγεται, ἀλλὰ τὸ ἔλαιον αὐτῆς· διότι ἱκανά εἰσιν ἐλαιουργεῖα ἔν τε Φιλιππουπόλει δι' ἱππομύλων, καὶ ἐν ταῖς παρακειμέναις αὐτῆς κώμαις, καὶ χώραις δι' ὑδρομύλων ἐξάγοντα τὸ σησαμοέλαιον· ἔτι δὲ καὶ ὀπωρικά εἰσιν ἀρκοῦντα τῇ Ἐπαρχίᾳ, καὶ νικοτιανή, ὁ καλούμενος καπνός, καὶ κτηνοτροφίαι ὁμοίως, μάλιστα δὲ τῶν προβάτων καὶ τῶν αἰγῶν, ὧν τὰ μαλλία ἐργάζονται αἱ πλείους τῶν χωρικῶν γυναικῶν, καὶ κατασκευάζουσι τὰ πρὸς χειμῶνα ἐπιτήδεια μάλλινα ὑφάσματα, ἄτινα γρύζα ἁπλῶς καλοῦσι,

τουρκιστὶ δὲ ἀμπᾶς ὀνομάζεται· καὶ τούτων οὖν γίνεται ἐμπόριον ἱκανόν, εἰς πᾶσαν τὴν Τουρκίαν διακομιζομένων· τὰ δὲ αἰγεῖα δερμάτια βαπτόμενα μετακομίζονται εἰς τὴν Εὐρώπην καὶ κόνις πυρῖτις κατασκευάζεται ἔν τε Φιλιππουπόλει, καὶ ἐν ἄλλοις τῆς Ἐπαρχίας μέρεσι.

§. ιθ'. Σκουτάριον, καὶ κοινῶς Σκουταρέτον, καὶ τουρκιστὶ Δογαντσέλαι· χωρίον μὲν τὰ νῦν μικρὸν τῆς Τοπαρχίας Φιλιππουπόλεως ὑπὸ Χριστιανῶν μόνον οἰκούμενον, ἀπέχον τῆς Φιλιππουπόλεως ἕως δύω ὡρῶν καὶ ἡμισείας πρὸς καικίαν· (§. ς'.) τὸ πάλαι δὲ ἦν Ἐπισκοπή, καὶ ὁ ταύτης ἐπίσκοπος ἐκαλεῖτο Σκουταρίου.

§. κ'. Τσιρπάνη, κωμόπολις καὶ Τοπαρχία χωριστή, ἀπέχουσα τῆς Φιλιππουπόλεως ἐννέα ὡρῶν διάστημα πρὸς καικίαν, ὡς εἴπομεν. (§. ϛ'.) Τὸ μέγεθος ταύτης τῆς Τσιρπάνης ἐστὶν ἕως χιλίων οἰκιῶν, ὧν τὸ ἓν τρίτον μόλις εἰσὶ Χριστιανοί, οἵτινες τὴν ἁπλῆν σλαβονικήν, ἤγουν τὴν βουλγαρικὴν γλῶσσαν προφέρουσιν (α)· οἱ δὲ λοιποὶ Τοῦρκοι.

§. κα'. Αὕτη ἡ Τοπαρχία Τσιρπάνης περιέχει χωρία τουρκικά τε καὶ βουλγαρικά, ἤτοι χριστιανικὰ ἕως ἑξήκοντα τὸν ἀριθμόν, ὧν τὰ ἡμίση εἰσὶν ὑπὸ τὸν Τουρνόβου, ἡ δὲ Τσιρπάνη μετὰ τῶν λοιπῶν ἡμίσεων αὐτῆς χωρίων εἰσὶν ὑπὸ τὸν Φιλιππουπόλεως. Ἐν ταύτῃ τῇ Τοπαρχίᾳ γίνεται ὁ κάλλιστος σῖτος· διὸ καὶ οἱ πλείους εἰσὶ γεωργοί.

§ κβ'. Σίκπα, χώρα τῆς Τοπαρχίας Καζανλικίου, οὗ καὶ ἀπέχει δύω ὡρῶν διάστημα· κεῖται δὲ εἰς τοὺς πρόποδας τοῦ ὄρους Αἵμου, καὶ ἔστι πρὸς βορρᾶν τῆς Φιλιππουπόλεως, ἀπέχουσα αὐτῆς ὥρας δεκαεννέα, ὡς ἔφημεν. (§. η.) τὸ μέγεθος ταύτης ἐστὶν ἕως τριακοσίων οἰκιῶν, πάντες δὲ ὀρθόδοξοι, τὴν γεωργικὴν οἱ πλείους μετερχόμενοι.

§. κγ'. Καλόφερος, χώρα καὶ αὕτη, ἡ κώμη τοῦ Καζανλικίου, εἰς τὴν αὐτὴν ὑπώρειαν τοῦ Αἵμου κειμένη, πρὸς δυσμὰς τῆς Σίπκας καὶ πρὸς βορρᾶν τῆς Φιλιππουπόλεως· καὶ τῆς μὲν Σίπκας ἀπέχει ὥρας ἕξ, τῆς δὲ Φιλιππουπόλεως ὥρας δεκατέσσαρας· αὕτη ἡ κώμη πρότερον μὲν ἦν μείζων, ἀλλ' ἐπειδὴ κατεκάη καὶ αὐτὴ ὑπὸ τῶν ληστῶν, νῦν ἀνακαινισθεῖσα μόλις πεντακοσίας, ἢ ἑξακοσίας τὸν ἀριθμὸν περιέχει οἰκίας· πάντες δὲ οἱ ἐνοικοῦντές εἰσι Χριστιανοί· ὧν οἱ πλείους εἰς τὴν Εὐρώπην πραγματεύονται διὰ δερμάτων βεβαμμένων, τῶν λεγομένων κορδοβανίων, καὶ ἄλλων τινῶν πραγματειῶν. Ἐν ταύτῃ ἐργάζονται αἱ γυναῖκες τὰ μάλλινα ὑφάσματα, τὰ κοινῶς γρύζα καλούμενα· εἰσὶ δ' ἐν αὐτῇ τῇ κώμῃ καὶ δύο ἀσκητήρια γυναικεῖα, ὧν

(α) Ἐκτὸς τῆς Φιλιππουπόλεως, καί τινων χωρίων εἰς τοὺς πρόποδας τοῦ ὄρους Ῥοδόπης κειμένων, ὅπου φαίνεται, ὅτι ἀποικία τίς ἐστιν ἑλληνική, εἰς πάντα τὰ λοιπὰ μέρη τῆς Ἐπαρχίας ἡ βουλγαρικὴ ὡς ἐπὶ τὸ πλεῖστον συνειθίζεται· μάλιστα δὲ τὰ ἐπὶ τοῦ ὄρους τῆς Ῥοδόπης κείμενα χωρία, τὸ μέρος ἐκεῖνο δηλαδή, ὅπερ καλεῖται Γιαϊλᾶς, κσὶ Τοῦρκοι καὶ Χριστιανοὶ τὴν βουλγαρικὴν μόνον προφέρουσι· σπανίως δὲ ἡ ἁπλῆ ἑλληνικὴ συνειθίζεται ἐν ταῖς πόλεσι, καὶ ἔν τισι κώμαις καὶ χώραις.

αἱ μονάζουσαι ταῖς ἰδίαις χερσὶ τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα πορίζονται· διότι ἐξυφαίνουσι τὰ λεπτότερα μάλλινα ὑφάσματα, ἐξ ὧν σινδόνας κατασκευάζουσι καὶ περιβόλαια, τὰ κοινῶς ῥάσα λεγόμενα· διὰ ταύτης τῆς κώμης διέρχεται ὁ Ταίναρος ποταμός, κοινῶς Τοῦντσα, τὰς πηγὰς ἐκεῖθεν πλησίον ἔχων ἐκ τοῦ αὐτοῦ ὄρους Αἴμου· πλησίον δὲ αὐτῆς ἐντὸς τοῦ ὄρους Αἴμου ἐστὶ καί τι Μοναστήριον βουλγαρικόν, (α) ἐπονομαζόμενον τῆς Καλοφέρου ἀπὸ τῆς παρακειμένης αὐτῷ κώμης. Εἰσὶ δὲ καί τινα χωρία τοῦ Καζανλικίου, ἐν τῇ αὐτῇ Ἐπαρχίᾳ Φιλιππουπόλεως περιεχόμενα, ἅτινα κεῖνται μεταξὺ τῆς Καλοφέρου, Σίπκας, Καζανλικίου, καὶ Τσιρπάνης.

§. κδ'. Κάρλοβον, κωμόπολις τῆς Τοπαρχίας Φιλιππουπόλεως εἰς τοὺς πρόποδας καὶ αὕτη τοῦ ὄρους Αἴμου κειμένη, δύω ὥρας ἐντεῦθεν τῆς Καλοφέρου, ἤτοι πρὸς δυσμάς, τῆς δὲ Φιλιππουπόλεως ἀπέχει ὥρας δώδεκα πρὸς βορρᾶν· καὶ τοσοῦτόν ἐστι καθ' αὐτὸ τὸ ἀπὸ Φιλιππουπόλεως ἕως τοῦ ὄρους Αἴμου διάστημα· τὸ μέγεθος αὐτῆς ἕως χιλίων οἰκιῶν, ὧν τὸ ἓν τέταρτον Χριστιανοί, οἱ δὲ λοιποὶ Τοῦρκοι· ἐν ταύτῃ κατὰ πᾶσαν ἕκτην ἡμέραν τῆς ἑβδομάδος, ἤγουν τὴν Παρασκευὴν συνίσταται ἀγορὰ ἀπὸ τῶν πέριξ χωρίων· εἰσὶ δ' ἐν αὐτῇ καὶ τεχνουργεῖα, διάφορα, καὶ ῥοδωνιαὶ ἐν αὐτῇ τε καὶ περὶ αὐτήν, ἤτοι τριανταφυλλῶνες, ἱκαναί, ὅθεν ἐξάγουσι τὸ πνεῦμα τῶν ῥόδων, τὸ καλούμενον κοινῶς ῥαδόσταμα, καὶ τὸ ἐκ τῶν ῥόδων ἔλαιον, ἤτοι τὸ μῦρον· κατασκευάζουσι δ' ἐν αὐτῇ καὶ κόνιν πυρίτιν· τῶν δὲ γυναικῶν αἱ πλείους ἐργάζονται τὰ μάλλινα ὑφάσματα, ἤτοι τὰ γρύζα· καὶ δι' αὐτῆς διέρχεταί τις ποταμός, καὶ ἅπας ὁ τόπος καταβρέχεται ὑπὸ τῶν ὑδάτων.

§. κε'. Μεταξὺ Καρλόβου, Τσιρπάνης, καὶ Φιλιππουπόλεως, ἐστί τις βουνὸς μικρὸς Καρατσᾶ Δάγ, ἤτοι δορκάδος ὄρος καλούμενον, ἐφ' οὗ εἰσιν ἱκανὰ χωρία τῆς Τοπαρχίας Φιλιππουπόλεως μικρά τε καὶ μεγάλα· τὸ μέγιστόν ἐστιν ἕως τριακοσίων οἰκιῶν, καὶ καλεῖται Χατσάρη· τούτων οἱ πλείους τὴν προβατευτικὴν μετέρχονται τέχνην, καὶ οἱ λοιποὶ τὴν γεωργικήν· ἀπέχει δὲ τὸ ὄρος τοῦτο τῆς μὲν Καρλόβου, ἤτοι ἀπὸ τοῦ ὄρους Αἴμου ἕως τριῶν ὡρῶν, τῆς δὲ Φιλιππουπόλεως ἕως ὀκτώ.

§. κϛ'. Σόποτ, ἢ Ἀκτσέκκλησε, χώρα καὶ αὕτη τῆς Φιλιππουπόλεως ἕως πεντακοσίων οἰκιῶν τὸ μέγεθος, εἰς τὴν αὐτὴν ὑπώρειαν τοῦ Αἴμου πλησίον τῆς Καρλόβου ἕως εἴκοσι λεπτῶν τῆς ὥρας, Χριστιανοὶ πάντες· ἐνταῦθά εἰσι καὶ ὑελουργεῖα κατασκευάζοντα διάφορα ἀγγεῖα ὑάλινα, μελανὰ ὅμως μικρόν, καὶ οὐχ' οὕτω διαφανῆ, ὡς ὁ κρύσταλος. Πλησίον δὲ αὐτῆς ἐστί τι Μοναστήριον βουλγαρικόν, ἐπονομαζόμενον Ἀκτσέκκλησε, ἀπὸ τῆς παρακειμένης αὐτῷ χώρας.

§. κζ'. Κλεισοῦρα, ἢ Πρασαδὶν Δερβέντι· χώρα καὶ αὕτη Φιλιππουπό-

---

(α) Βουλγαρικῇ δηλαδὴ διαλέκτῳ τὰς ἀκολουθίας ἀναγινώσκουσιν οἱ ἐν αὐτῷ ἀσκούμενοι καλόγηροι.

λεως ἕως πεντακοσίων οἰκιῶν, κειμένη εἰς τὴν αὐτὴν ὑπώρειαν τοῦ Αἵμου, ἢ ἐν τῷ ὄρει Αἵμῳ, πλησίον τινὸς σφακτηρίας, ἢ στενωποῦ τοῦ αὐτοῦ ὄρους· καὶ ἀπέχει τῆς μὲν Φιλιππουπόλεως ἕως ὡρῶν δεκατεσσάρων, τῆς δὲ Ἀκτσέκκλησε ἕως πέντε ὡρῶν· συνορεύει δὲ καὶ μετὰ τῆς Σλατήτσας, ἧς καὶ ἀπέχει ἕως τριῶν, ἢ τεσσάρων ὡρῶν· Χριστιανοὶ μόνον καὶ ἐν ταύτῃ οἰκοῦσι, τὴν ποιμενικὴν οἱ πλείους μετερχόμενοι.

§ κη'. Κοπριστίτσα, ἢ Ἀβράδαλάνι, χώρα καὶ αὕτη Φιλιππουπόλεως, ἢ κώμη ἕως χιλίων οἰκιῶν, τὴν προβατευτικὴν καὶ οὗτοι μετερχόμενοι· κεῖται δὲ ἡ χώρα πρὸς τὴν δυτικὴν πλευρὰν τοῦ ὄρους Αἵμου, μέση οὖσα δύω ὡρῶν· ὡς γὰρ ἀπὸ τῆς βορείου πλευρᾶς τοῦ ὄρους Αἵμου, μεταξὺ δηλαδὴ Αἵμου καὶ Φιλιππουπόλεως, ἔστι τις βουνὸς Καρατσᾶ Δάγ, ὡς ἔφημεν, (§.κε'.) οὕτω καὶ ἀπὸ τῆς δυτικῆς πλευρᾶς τοῦ Αἵμου ἐστί τι ὄρος ὑψηλὸν ἱκανῶς, μέσον Αἵμου καὶ Φιλιππουπόλεως, καὶ Παζαρτσικίου κείμενον, ἀρχόμενον ἀπὸ τῆς Κοπριστίτσας ἐγγύς, καὶ καταλῆγον ἕως τοῦ ποταμοῦ Ἔβρου. Ὅθεν καὶ καλεῖται ὑπὸ τῶν Βουλγάρων Σρὲτ Γκορά, ἤγουν μέσον ὄρος· ἀπέχει δὲ ἡ Κοπρίστιτσα τῆς μὲν Κλεισούρας δύω ὡρῶν διάστημα πρὸς νότον, τῆς δὲ Φιλιππουπόλεως πρὸς βορρᾶν, καὶ δύσιν μικρόν, ἢ μεταξὺ βορρᾶ, καὶ δύσεως ὡρῶν δώδεκα.

§. κθ'. Λίτσα Ἰσάρ· ἀπὸ τῆς Κοπριστίτσας εἰς Φιλιππούπολιν ἐρχομένου τινὸς ἕως τεσσάρων ὡρῶν διάστημα, διαβαίνοντος, φημί, τὸ μέσον ὄρος, ἔστι τι πόλισμα καὶ τεῖχος, ἦγουν κάστρον περὶ αὐτὸ παλαιόν· ἐρείπιον ὅμως τανῦν, ἀπέχον τῆς Φιλιππουπόλεως κατ' εὐθεῖαν πρὸς βορρᾶν ἕως ὡρῶν ὀκτώ· καλεῖται δὲ ὑπὸ τῶν Τούρκων Λίτσα διὰ τὰ ἐν αὐτῷ πάμπολλα θερμὰ ὕδατα· καὶ οἱ ἐνοικοῦντες πάντες εἰσὶ Τοῦρκοι· ἐντὸς δὲ τοῦ τείχους, καὶ ἔξωθέν εἰσι λουτρὰ τῶν θερμῶν ὑδάτων ἱκανά τε καὶ εὐμεγέθη, λιθόκτιστα, τὰ πάντα καὶ τὰ πλείω μετὰ θόλων, καὶ εἰς κάλλος πεποιημένα· καὶ εἰς μέρη τοσοῦτον θερμά εἰσι τὰ ὕδατα, ὥστε χεῖρα οὐκ ἐπιδέχονται. (α)

§. λ'. Πλησίον τῶν Θερμῶν, ἤτοι τῶν Λιτσῶν πρὸς Φιλιππούπολιν ἐρχομένου τινός, εἰσὶ πέντε, ἢ ἓξ χωρία, τὰ μὲν ὑπὸ Παυλικιάνων μόνον οἰκούμενα, τὰ δὲ εἰσιν ἀναμεμιγμένα ὑπὸ Παυλικιάνων, καὶ ἀνατολικῶν Χριστιανῶν.

§. λα'. Πανηγιούρισια, ἢ Ὀτλοὺκ Κιογὶ τουρκιστί· χώρα τοῦ Παζαρτσικίου, ἀπέχουσα αὐτοῦ μὲν τοῦ Παζαρτσικίου πρὸς ἄρκτον ἕως ἐννέα ὡρῶν, τῆς δὲ Κοπριστίτσας πρὸς δύσιν ἕως τεσσάρων ὡρῶν κατὰ τὴν δυτικὴν πλευρὰν τοῦ Αἵμου κειμένη εἰς τὴν ὑπώρειαν αὐτοῦ τοῦ ὄρους· ἔστι δὲ τὸ μέγεθος ἕως ἑξακοσίων οἰκιῶν, ποιμένες ἅπαντες.

§. λβ'. Μπάνια τοῦ Ὀτλοὺκ Κιογί· χωρίον μικρὸν ἕως δύω ὡρῶν ἐπέ-

(α) Τίνος ἐστὶ κτίσμα τὸ τεῖχος τῆς Λίτσα Ἰσὰρ ἀγνοεῖται τὸ βέβαιον· πιθανὸν ὅμως, ὅτι ἐκτίσθη ὑπὸ Ἰουστινιανοῦ Αὐτοκράτορος Κωνσταντινουπόλεως· ὅς τις διὰ πολλῶν φρουρίων ὠχύρωσεν ὅλα τὰ μέρη τῆς Θρᾴκης διὰ τὰς συνεχεῖς ἐπιδρομὰς τῶν Γότθων, καὶ ἄλλων τινῶν ἐπέκεινα τοῦ Δουνάβεως οἰκούντων.

κεινα τοῦ Ὀτλοὺκ Κιογί, εἰς τὴν ὑπώρειαν τοῦ μέσου ὄρους· ἔχει καὶ αὐτὸ θερμὰ ὕδατα ἱκανά, καί τινα λουτρὰ τῶν θερμῶν ὑδάτων.

§. λγ'. Καλογέροβον, καὶ τουρκιστὶ Γκέλβερε, χωρίον τοῦ Παζαρτσικίου ἕως διακοσίων οἰκιῶν, οἱ πάντες γεωργοὶ καὶ ἀμπελουργοί· κεῖται δὲ μέσον τοῦ Παζαρτσικίου, καὶ Ὀτλοὺκ Κιογί, καὶ πλησίον αὐτοῦ ἐπὶ τοῦ καλουμένου μέσου ὄρους, ἐστί τι Μοναστήριον βουλγαρικὸν τῷ ὀνόματι τοῦ αὐτοῦ χωρίου ἐπονομαζόμενον.

§. λδ'. Βέτρενα, ἢ Δερβὲντ Γενὶ Κιογὶ τουρκιστί· ὑπὸ τὴν ὑπώρειαν τοῦ Αἵμου κείμενον χωρίον ἕως τριακοσίων οἰκιῶν τὸ μέγεθος, γεωργοὶ καὶ οὗτοι καὶ ἀμπελουργοί· ἀπέχουσι δὲ τὰ Βέτρενα τοῦ μὲν Παζαρτσικίου ὥρας ἓξ, τῆς δὲ Φιλιππουπόλεως δώδεκα, καὶ ὡς τὸ Παζαρτσίκιον ἀρκτικοδυτικῶς κεῖται τῆς Φιλιππουπόλεως, οὕτω καὶ τὰ Βέτρενα τοῦ Παζαρτσικίου, καὶ ἔστι σύνορον μετὰ τῆς Ἐπαρχίας Σοφίας· ἀπὸ δὲ τῶν Βετρένων πρὸς νότον ἐρχομένου τινός, ἕως δύω ὡρῶν διάστημα, ἔστιν ὁ Ἔβρος ποταμός, ὑφ' οὗ καὶ σχίζεται ὁ Αἷμος ἀπὸ τῆς Ῥοδόπης, ὡς εἴπομεν (§. η'.) καὶ λαμβάνει τέλος ἕως τούτου τοῦ χωρίου.

§. λε'. Μπέλοβον, χωρίον τι μικρὸν τοῦ Παζαρτσικίου, κείμενον παρὰ τὴν ὄχθην τοῦ Ἔβρου ποταμοῦ ἀπὸ μέρους τοῦ ὄρους Ῥοδόπης· ἐπέκεινα δὲ τούτου ἕως καὶ ἡμισείας ὥρας κεῖται ἐντὸς τοῦ αὐτοῦ ὄρους ἕτερόν τι χωρίον, μέγα Μπέλοβον καλούμενον· ἐν ᾧ κατασκευάζουσι κλεῖδας τεχνικὰς ἐξ ὀρειχάλκου, δηλαδὴ προύντζου, καὶ ἐκ σιδήρου· ἔστι δὲ τὸ Μπέλοβον σύνορον μετὰ τῆς Ἐπαρχίας Σαμοκοβίου, καὶ ὁδὸς ἀπάγουσα εἰς Σαμακόβιον.

§. λϛ'. Τσέπενα, ὡς Τοπαρχία χωριστή, ὑποτελὴς ὅμως εἰς Παζαρτσίκι, περιέχουσα ἑπτὰ χωρία πλησίον ἀλλήλων κείμενα, ὧν τὰ ἓξ εἰσὶ τουρκικά, καὶ ἓν μόνον βουλγαρικόν, Καμινίτσα λεγόμενον, ἕως ὀγδοήκοντα οἰκιῶν τὸ μέγεθος· κεῖνται δὲ τὰ Τσέπενα ἐντὸς τοῦ ὄρους, ἐπέκεινα τοῦ μεγάλου Μπελόβου ἕως τεσσάρων ὡρῶν πρὸς λιβόνοτον, ἤγουν μέσον νότου καὶ δύσεως. ἴσως τὰ Τσέπενά εἰσι τὸ μέρος ἐν ᾧ τελειοῦται τὸ ὄρος ὁ Ὄρβηλος, καὶ ἄρχεται ἡ Ῥοδόπη· ἔχει δὲ καὶ ὕδατα θερμὰ πλεῖστα, καὶ δύο λουτρὰ τῶν θερμῶν ὑδάτων καλῶς ᾠκοδομημένα· ἐν τούτοις τοῖς χωρίοις φύεται μάλιστα λῖνον, τὸ κοινῶς λινάριον· εἰς τὰ Τσέπενα τὸ πάλαι ἦν φρούριόν τι ὀχυρόν, ὡς λέγει ἡ Βυζαντίς, τανῦν δὲ σώζονται αὐτοῦ τινα ἐρείπια· ἀπὸ τῶν Τσεπένων κατὰ νότον τις πορευόμενος ἕως ἑπτά, ἢ ὀκτὼ ὡρῶν διάστημα, φθάνει εἴς τι χωρίον τουρκικὸν καλούμενον Δοσπάτι, καὶ ἴσως τοῦτο τὸ χωρίον ἐστὶ τὸ σύνορον ἐν ᾧ τελειοῦται ὁ Ὄρβηλος, καὶ ἄρχεται ἡ Ῥοδόπη.

§. λζ'. Μπατάκι, χωρίον καὶ τοῦτο τοῦ Παζαρτσικίου ἕως ἑκατὸν οἰκιῶν, ἀπέχον τοῦ Παζαρτσικίου ἕως ἓξ ὡρῶν πρὸς δύσιν, ἢ μᾶλλον πρὸς λίβα, ἤγουν μικρὸν πρὸς νότον ἀπονεῦον· ἐν τούτῳ τῷ χωρίῳ εἰσὶ πριστήρια ἱκανά, δι' ὧν πρίζουσι τὰς σανίδας· κεῖται δὲ τὸ χωρίον εἰς τοὺς πρόποδας τοῦ ὄρους Ῥοδόπης, ἢ ἐντὸς τοῦ ὄρους μικρόν, μεταξύ τινος ποτα-

μοῦ· ὃς ἐντεῦθεν κατέρχεται εἰς Περιστεράν· τὸ Μπατάκι ἐστὶν ἡ μέση καὶ εὐθεῖα ὁδός, ἡ ἄγουσα εἰς Σέρρας.

§. λη'. Περιστερά, ἢ Πέστερα, κώμη τοῦ Παζαρτσικίου ἕως ἑξακοσίων οἰκιῶν τὸ μέγεθος, ὧν τὰ δύο τρίτα εἰσὶ Χριστιανοί, καὶ οἱ λοιποὶ Τοῦρκοι· κεῖται δὲ ἡ Περιστερὰ εἰς τὴν ὑπώρειαν τῆς Ῥοδόπης, ἀπέχουσα τοῦ μὲν Μπατακίου ὥρας δύο, τοῦ δὲ Παζαρτσικίου ὥρας τέσσαρας· ἐν ταύτῃ εἰσὶ μέτοικοι ἱκανοὶ ἀπὸ Βοσκοπόλεως· εἰσὶ δ' ἐν αὐτῇ πριστήρια ἱκανὰ σανίδων, καὶ σιδηρομεταλλεῖα, ἤτοι σαμακόβια· οἱ δὲ πλείους εἰσὶ βυρσοδέψαι, ἐργαζόμενοι καὶ βάπτοντες τὰ δέρματα.

§. λθ'. Μπατκούνιον, πόλις ποτὲ μεγάλη καὶ μητρόπολις τῆς Τοπαρχίας Παζαρτσικίου, ἀπέχουσα πρὸς δύσιν τοῦ Παζαρτσικίου ἐγγὺς δύω ὡρῶν, νῦν δὲ χωρίον μικρόν· ἔστι δὲ παρ' αὐτῷ τῷ χωρίῳ κείμενόν τι Μοναστήριον ἐκ τοῦ αὐτοῦ ὀνόματος τοῦ χωρίου ἐπονομαζόμενον.

§. μ'. Παζαρτσίκιον, Πόλις μὲν ὑστερογενής, νῦν δὲ πρωτεύουσα τῆς Τοπαρχίας ταύτης ἁπάσης, ἀπέχουσα τῆς Φιλιππουπόλεως ἀρκτικοδυτικῶς, ὡς εἴπομεν (§. λδ'.) ὥρας ἓξ παρὰ τῷ Ἕβρῳ ποταμῷ, ὅστις ῥέει ἀπὸ τῆς νοτίου πλευρᾶς τῆς πόλεως· ἔστι δὲ ἡ πόλις πᾶσα τετειχισμένη, ἐκ πλίνθων ἔχουσα τὸ περίφραγμα, καὶ περιέχουσα ἕως τεσσάρων, ἢ πέντε χιλιάδων οἰκίας, ὧν τὰ δύο τρίτα Τοῦρκοι, οἱ δὲ λοιποὶ Χριστιανοί· εἰσὶ δὲ καί τινες Ἀρμένιοι καὶ Ἑβραῖοι. Ἐν ταύτῃ γίνεται ἐμπόριον ἱκανὸν παντὸς εἴδους πραγματειῶν, μάλιστα δὲ τῶν μαλλίνων ὑφασμάτων, ἤτοι τῶν γρύζων, ὧν γίνεται ἀγορὰ κατὰ πᾶσαν ἑβδομάδα· ἐξαιρέτως δὲ κατὰ τὸν Ἰούλιον μῆνα ὅλον, καὶ ἕως τῆς δεκάτης πέμπτης Αὐγούστου, ἤγουν ἀπὸ τῆς ἑορτῆς τῶν ἁγίων Ἀποστόλων ἕως τῆς κοιμήσεως τῆς ὑπεραγίας Θεοτόκου· (διότι τοσοῦτον χρόνον διαμένει ἡ πανήγυρις, ἡ καλουμένη Μαράσια)· ἔτι δὲ καὶ σιδήρου, ὃν μεταφέρουσιν ἐκ τῶν πλησιοχώρων σιδηρομεταλλείων, ἤγουν Σαμακοβίων, καὶ πωλοῦσιν ἐν τῇ πανηγύρει· ἔστι δὲ ὁ τόπος εὔφορος παντὸς εἴδους καρπῶν, ἀλλ' ἡ ὄρυζά ἐστι τὸ κυριώτερον προϊὸν τοῦ τόπου, ἧς γίνεται ἐξαγωγὴ καὶ εἰς πλεῖστα ἄλλα μέρη· εἰσὶ δὲ καὶ ἄλλα ἱκανὰ χωρία τῆς Τοπαρχίας Παζαρτσικίου, τὰ μὲν ὑπὸ Τούρκων μόνον οἰκούμενα, τὰ δὲ ὑπὸ Χριστιανῶν· τινὰ δὲ ἀναμεμιγμένα ἐκ τούτων τῶν δύω γενῶν, τῶν Τούρκων, ὡς καὶ ἐν τῇ πόλει, τὸ πλεῖστον τοῦ ἀριθμοῦ ἐχόντων· τὰ πάντα δέ εἰσιν ἕως ἑκατὸν ἑξήκοντα.

§. μα'. Κρίτσιμα, χώρα τῆς Τοπαρχίας Φιλιππουπόλεως, ἀπέχουσα ταύτης πρὸς λίβα (§. λζ'.) ἕως ὡρῶν πέντε καὶ ἡμισείας, τοῦ δὲ Παζαρτσικίου πρὸς νότον ἕως ὡρῶν τριῶν καί τι πρός· κεῖται δὲ ἡ χώρα εἰς τὴν ὑπώρειαν τοῦ ὄρους Ῥοδόπης, διῃρημένη εἰς δύο ἀπό τινος ποταμοῦ πάνυ ὁρμητικοῦ, τῷ αὐτῷ ὀνόματι κἀκείνου καλουμένου, ἤγουν Κρίτσιμα.

§. μβ'. Ἄνωθεν τῶν Κριτσίμων πρὸς δεξιὰν τοῦ ποταμοῦ ἐν τῷ αὐτῷ ὄρει κεῖνται δύο Μοναστήρια, οἰκοδομαὶ παλαιαί, τὸ μὲν τῶν ἁγίων Ἀναρ-

γύρων, τὸ δὲ τῶν Εἰσοδίων τῆς Θεοτόκου, ἕως μιᾶς ὥρας τὸ ἓν ἀπὸ τοῦ ἄλλου ἀπέχοντα, καὶ τὰ δύο δὲ τῷ αὐτῷ ὀνόματι τῶν Κριτσίμων ἐπονομαζόμενα· καὶ ἐν τῷ μεταξὺ αὐτῶν τῶν Μοναστηρίων εἰσὶ λείψανα παλαιῶν οἰκοδομῶν ἱκανά, οἷον Ἐκκλησιῶν καὶ ἄλλων (α).

§ μγ'. Περοστίτσα, χωρίον τῆς Φιλιππουπόλεως εἰς τὴν αὐτὴν σειρὰν τοῦ ὄρους κείμενον, καὶ ἀπέχον τῶν μὲν Κριτσίμων πρὸς ἀνατολὰς ἕως μιᾶς ὥρας καί τι πρός, τῆς δὲ Φιλιππουπόλεως πρὸς λίβα (§. λζ'.) ἕως ὡρῶν τεσσάρων καί τι πρός· οὗ πλησίον ἐπί τινος βουνοῦ ἔκειτό τι Μοναστήριον τῶν ἁγίων Θεοδώρων, τῷ αὐτῷ ὀνόματι τοῦ χωρίου ἐπονομαζόμενον, νῦν δέ ἐστι κεκαυμένον καὶ ἐρείπιον.

§. μδ'. Πριστίτσα, ἢ Πραστοβίτσα, καὶ τουρκιστὶ Δερετσίκιογι· χώρα ἱκανὴ τὸ πάλαι εἰς τὴν αὐτὴν σειρὰν τοῦ ὄρους Ῥοδόπης, ἕως ὥρας μιᾶς ἀπέχουσα τῆς Περοστίτσας, ἀμπελουργοὶ πάντες.

§. με'. Ἀντικρὺ τούτων τῶν δύω χωρίων κάτω εἰς τὸ πεδίον, ἔστι τι χωρίον Παστοῦσα καλούμενον, καὶ παρ' αὐτῷ τις Ἐκκλησία μεγίστη λιθόκτιστος, παλαιὰ οἰκοδομή, νῦν δὲ ἐρείπιον.

§. μϛ'. Δερμένδερε, κώμη τὸ πάλαι ἱκανή, νῦν δὲ ἑκατὸν οἰκιῶν, εἰς τὴν αὐτὴν τοῦ ὄρους σειρὰν κειμένη· ἐν ᾗ εἰσιν ὑδρόμυλοι πλεῖστοι, καὶ ὅλμοι, τουρκιστὶ δίγκια, δι' ὕδατος κινούμενα, καὶ λεπίζοντα τὴν ὄρυζαν· οἱ κάτοικοι ταύτης εἰσὶ Τοῦρκοι καὶ Χριστιανοί· ἀπέχει δὲ τοῦ μὲν Δερετσικίου ὑπὲρ μίαν ὥραν, τῆς δὲ Φιλιππουπόλεως ἕως δύω καὶ ἡμισείας.

§. μζ'. Μάρκοβον, χωρίον εἰς τοὺς πρόποδας τοῦ αὐτοῦ ὄρους κείμενον, δύο ὥρας ἀπέχον τῆς Φιλιππουπόλεως κατ' εὐθεῖαν πρὸς νότον· ἔξωθεν τούτου τοῦ χωρίου ἐστί τις ὑδραγωγὸς μέγας, οἰκοδομὴ παλαιά, τουρκιστὶ Μαγαρᾶς λεγόμενος· ὅθεν μετεφέρετο πάλαι τὸ ὕδωρ εἰς τὴν Φιλιππούπολιν, ὡς εἴπομεν· (§. ι'.) ἅπας δὲ ὁ τόπος τούτου τοῦ χωρίου, ὁμοίως καὶ ὅλη ἡ ὑπώρεια τοῦ ὄρους Ροδόπης ἐστὶν ἀμπελόφυτος, καὶ ὀλίγη ἡ σιτοφορία.

§. μη'. Μπέλα Στίτσα, χωρίον μικρόν, ἢ ἀγρός, ἕως εἴκοσι λεπτῶν πρὸς ἀνατολὰς τοῦ Μαρκόβου κείμενον εἰς τοὺς πρόποδας τοῦ αὐτοῦ ὄρους· ὅπερ μεθερμηνεύεται, ὡς εἴπομεν (§. η'.) ἀγαθὴ νίκη, καὶ ἴσως αὕτη ποτὲ ἦν ἡ ἐπισκοπὴ Ἀγαθονίκεια· ἔχει δὲ τὸ χωρίον πῦργόν τινα θαυμάσιον τῷτε ὕψει καὶ κάλλει καὶ ὀχυρότητι· πλησίον δὲ αὐτοῦ τοῦ χωρίου ἐπὶ τοῦ αὐτοῦ ὄρους κεῖται Μοναστήριόν τι τοῦ ἁγίου Γεωργίου ἐπονομαζόμενον Μπελαστίτσας ἐκ τοῦ παρακειμένου αὐτῷ χωρίου.

§. μθ'. Κούκλαινα, χώρα ἕως διακοσίων οἰκιῶν τὰ νῦν τὸ μέγεθος μόλις, εἰς τὴν αὐτὴν ὑπώρειαν τοῦ ὄρους κειμένη, καὶ ἀπέχουσα τῆς Φιλιπ-

---

(α) Πλησίον τοῦ κατωτέρου Μοναστηρίου τῶν ἁγίων Ἀναργύρων, ἐκ τοῦ αὐτοῦ ὄρους ἐξέρχεταί τις ποταμὸς μικρός, καλούμενος Δρογοβίτης· καὶ ἴσως ἐκ τούτου τοῦ ποταμοῦ φημίζεται ὁ Φιλιππουπόλεως Ἔξαρχος Θρᾴκης Δρογοβιτίας.

πουπόλεως ἐγγὺς τριῶν ὡρῶν διάστημα· ἄνωθεν ταύτης τῆς χώρας ἕως ἡμισείας ὥρας ἐπὶ τοῦ αὐτοῦ ὄρους ἐστί τι Μοναστήριον τῶν ἁγίων Ἀναργύρων, τῷ ὀνόματι τῆς χώρας ἐπονομαζόμενον· οὗ ἐν τῇ μάνδρᾳ, ὡς εἴπομεν (§. ιβ'.) ἐστί τις λίθος μαρμάρειος ἔχων γλυπτὴν τὴν εἰκόνα τοῦ Ἡρακλέως προσπαλαίοντος λέοντι, ἔργον ἀνάγλυπτον, ἀλλὰ τεχνικώτατον.

§. ν'. Βοδηνά, δύω χωρία πλησίον ἀλλήλων κείμενα εἰς τὴν αὐτὴν ὑπώρειαν, τὸ μὲν κάτωθι ὑπὸ Τούρκων οἰκούμενον, τὸ δ' ἄνω ὑπὸ Χριστιανῶν· τὰ Βοδηνά ποτε ἦν ἄστυ, ἦγουν κάστρον περιτετειχισμένον, ὡς διαλαμβάνει τὸ τυπικὸν τοῦ Μοναστηρίου Βατσκόβου, καὶ ὑποτελὲς τῷ αὐτῷ Μοναστηρίῳ· νῦν δὲ οὐδὲ σημεῖον τοῦ τείχους καταφαίνεται· ἐγγὺς τούτων τῶν Βοδηνῶν, καὶ μάλιστα τοῦ ἄνωθι, ἔκειτό τι Μοναστήριον τῆς ἁγίας Παρασκευῆς· τανῦν δὲ κεκαυμένον καὶ ἐρείπιον ἐκ τῆς τῶν λῃστῶν καταδρομῆς.

§. να'. Στενήμαχος [1]), κωμόπολις καὶ αὕτη Φιλιππουπόλεως μεγίστη, διῃρημένη ἔκ τινος ποταμοῦ εὐμεγέθους εἰς δύο μέρη ἀρκτικόν, καὶ νότιον. καὶ τὸ μὲν ἀρκτικὸν αὐτῆς μέρος καλεῖται κυρίως Στενήμαχος, τὸ δὲ νότιον ὀνομάζεται Ἀμπέλινος· πλησίον τούτων, ἢ ὀρθότερον εἰπεῖν, συνεχόμενόν ἐστι τῇ χώρᾳ Ἀμπελίνῳ, καὶ ἕτερόν τι χωρίον Τσιπροχῶρι καλούμενον, ἐν ᾧ εἰσί τινες Τοῦρκοι, οἱ δὲ λοιποὶ κάτοικοι ἁπάσης τῆς κωμοπόλεώς εἰσι Χριστιανοί· αὕτη ἡ κωμόπολις, πρὶν ἢ κατακαῇ ὑπὸ τῶν κλεπτῶν, εἶχε τὰ πρωτεῖα εἰς τὸ κάλλος ἁπασῶν τῶν κωμῶν, καὶ χωρῶν τῆς Φιλιππουπόλεως· καὶ τανῦν ὅμως καί τοι ἀπερίττως λίαν ἀνακτισθεῖσα, οὐ τυχοῦσαν ἔχει τὴν καλλονὴν διὰ τὴν θέσιν τοῦ τόπου· διότι ἐν τῷ τέλει τῆς διασφάγος, δηλαδὴ τοῦ σχίσματος κεῖται τοῦ ὄρους· αἱ δ' ἐμπεριεχόμεναι αὐτῇ τρεῖς χῶραι φαίνονται ὡς ἑστία τρίπους, καὶ ἐν αὐτῇ τὰ ὕδατα ἔνθεν κἀκεῖθεν μεταπηδῶντα, καὶ οἱονεὶ χορὸς πυρὸς καχλάζοντα· εἰσὶ δ' ἐν αὐτῇ οὐκ ὀλίγα σημεῖα παλαιῶν οἰκοδῶν, καί τινες Ἐκκλησίαι σώζονται λιθόκτιστοι μετὰ θόλου, οἷον ἡ φανερουμένη Παναγία εἰς Ἀμπέλινον, οἱ Ταξιάρχαι, καὶ ὁ Πρόδρομος εἰς Στενήμαχον· νέαι δὲ Ἐκκλησίαι μικραί τε, καὶ μεγάλαι ἐντὸς τῆς κωμοπόλεως καὶ περὶ αὐτήν εἰσι πάμπολλαι· καὶ ὑδρόμυλοί εἰσιν οὐκ ὀλίγοι, καὶ ἐλαιοτριβεῖα ἐξάγοντα τὸ σησαμοέλαιον, καὶ τεχνουργεῖα διάφορα· διὸ καὶ συνίσταται κατὰ πᾶσαν ἑβδομάδα ἀγορὰ ἀπὸ τῶν πέριξ χωρίων· οἱ πλείους δέ εἰσιν ἀμπελουργοί. Ἡ Στενήμαχος ἀπέχει τῆς Φιλιππουπόλεως πρὸς εὐρόνοτον, μέσον δηλαδὴ ἀνατολῆς, καὶ νότου, ἕως

---

1) Βλ. Μ. Ἀποστολίδου ὁ *Στενίμαχος* ἱστορία τῆς πόλεως. Ἀθῆναι 1929 μετ' εἰκόνων.

2) Περὶ μονῆς Βασκόβου ἐγράφησαν πολλὰ ἔκτοτε. Ἐξεδόθη τὸ τυπικὸν τῆς μονῆς τῶν δύο ἀδελφῶν Πακουριανῶν ἱδρυτῶν τῆς μονῆς καὶ συγγραφέων τοῦ τυπικοῦ καὶ ἐδημοσιεύθη ὑπὸ Γ. Μουσαίου καὶ Louis Petit. (Βλ. Θρακικὰ 7ος τ. Μ. Ἀποστολίδου). Ἡ μονὴ ὑπῆρξεν ἑλληνικὴ μέχρι τοῦ 1885 διαπαγεῖσα ἀπὸ τὸ Βουλγαρικὸν Κράτος. Τούτου σώζονται τρεῖς κώδικες σπουδαῖοι εἰς τὸ Βυζαντινὸν Μουσεῖον Ἀθηνῶν. (Βλ. περιγραφὴ κωδίκων 22ος τ. Ἀρχ. Θρ. Θησαυροῦ σ. 194 κ.ἑξ.) Σ.Δ.

ὡρῶν τριων καὶ ἡμισείας· καὶ ἔστιν αὐτή τε καὶ τὰ πέριξ αὐτῆς χωρία, ὡς φαίνεται, ἀποικία τις ἑλληνική, διότι μεταχειρίζονται λίαν τῇ ἀφαιρέσει, καὶ συγκοπῇ τῶν λέξεων· ἐν πολλοῖς δὲ καὶ τῇ συναλοιφῇ ὁμοῦ χρῶνται· οἷον, τὸ ἰδικόν μου, δκὸμ λέγοντες

§. νβ′ Παναγία τοῦ Καλέ. ἄνωθεν τῆς Στενημάχου ἕως ἡμισείας ὥρας κατὰ τὸ αὐτὸ σχίσμα τοῦ ὄρους, ἐστίτις οἰκοδομὴ παλαιὰ λιθόκτιστος, ὡς Μοναστήριον φαινόμενον, ἔρημον τανῦν καὶ ἀκατοίκητον· περιέχει δὲ καὶ μίαν Ἐκκλησίαν τῆς Θεοτόκου ὁμοίως λιθόκτιστον· διὸ καὶ καλεῖται Παναγία τοῦ Καλέ· τὸ παλαιὸν ὅμως ἦν ἄστυ, ἤγουν κάστρον, καὶ παρ' αὐτῷ χωρίον τι καλούμενον Πετριτσός· ὅθεν καὶ *τὸ Μοναστήριον Βατσκόβου ἐπωνομάζετο* πρότερον Παναγίας τῆς Πετριτσονιτίσσης, ὡς διαλαμβάνει τὸ τυπικὸν τοῦ αὐτοῦ Μοναστηρίου· ἀπὸ τῆς Παναγίας τοῦ Καλὲ δύω ὡρῶν ἐπέκεινά ἐστι τὸ *Μοναστήριον Βάτσκοβον*· ἀλλ' ἡ ὁδὸς πάνυ ἀπόκρημνος.

§. νγ′. *Βάτσκοβον*, χωρίον τι μικρὸν εἰς τὴν νότιον πλευρὰν τοῦ σχίσματος τοῦ ὄρους κείμενον· καὶ πλησίον αὐτοῦ κεῖται Μοναστήριόν τι σταυροπηγιακὸν μέγα καὶ περίφημον, τιμώμενον ἐπ' ὀνόματι τῆς κοιμήσεως τῆς Θεοτόκου τῆς Πετριτσονιτίσσης· νῦν δὲ ἐξακούεται Μοναστήριον Βατσκόβου, διὰ τὸ παρακείμενον αὐτῷ χωρίον Βάτσκοβον· κεῖται δὲ τὸ Μοναστήριον ἐν τόπῳ πάνυ ὡραίῳ καὶ εὐρυχώρῳ παρὰ τὸν ποταμόν, βουνοῖς ὑψηλοῖς πάντοθεν περικυκλούμενον, καὶ ἀπέχον, τῆς Στενημάχου ἕως ὡρῶν δύω καὶ ἡμισείας μεταξὺ δυσμῶν καὶ νότου κατὰ τὸ αὐτὸ σχίσμα τοῦ ὄρους καὶ εἰς τὸν αὐτὸν ποταμόν· ἔστι δὲ τὸ Μοναστήριον κτίσμα Γρηγορίου τοῦ Πακουριάνου (περὶ οὗ ἀναφέρει καὶ ἡ Ἄννα Κομνηνὴ) ἐξ Ἰβηρίας ἕλκοντος τὸ γένος, τῶν λίαν ἐπιφανῶν, καὶ ἐν τιμῇ ὄντος μεγίστῃ παρὰ τῷ ἀοιδίμῳ ἐν βασιλεῦσιν Ἀλεξίῳ τῷ Κομνηνῷ· διὸ καὶ ἐτιμήθη ὑπ' αὐτοῦ Σεβαστὸς καὶ μέγας Δομέστικος τῆς δύσεως· οὗτος ἀφ' οὗ δι' ἐπιταγῆς τοῦ αὐτοῦ βασιλέως κατεπολέμησε καὶ κατετρόπωσε τοὺς Πατσινάκας (α), ἐπιστρέψας ἐκεῖθεν νικητής, παρῃτήθη τοῦ λοιποῦ τῆς στρατηγίας, καὶ ἔκτισε τὸ εἰρημένον Μοναστήριον ἐν ἔτει ἀπὸ μὲν κτίσεως κόσμου ,Ϛφϙβ′. ἀπὸ δὲ Χριστοῦ γεννήσεως ᾳπδ′. ἰνδικτιῶνος ζ′. κατὰ τὸ τέταρτον ἔτος τῆς βασιλείας Ἀλεξίου τοῦ Κομνηνοῦ· ἐν ᾧ καὶ ἐμόνασεν αὐτός τε καὶ πολλοὶ τῶν ὑπ' αὐτὸν στρατιωτῶν, καὶ ἐπροίκισεν αὐτὸ πολλοῖς ἀναθήμασι, δοὺς ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ τοῦ Μοναστηρίου διὰ χρυσοβούλλων βασιλικῶν ἀπὸ Στενημάχου ἕως Ξάνθης, καὶ Περιθεωρίου πάντας τοὺς ἐμπεριεχομένους τόπους καὶ χώρας· ἔτι δὲ καὶ ἐν Σέρραις τινὰ χωρία, καί τινα Καισαρόπολιν καλουμένην μετὰ τῆς λίμνης, καὶ τῶν ὀψαριοτοπίων αὐτῆς· καὶ ἐν Θεσσαλονίκῃ χωρίον τι Πριλόγκιον, καὶ ἄλλα τινά, ὡς διαλαμβάνει τὸ τυπικὸν τοῦ αὐτοῦ Μοναστη-

(α) Πατσινάκαι ἐκαλοῦντο τὸ πάλαι οἱ βασιλεῖς τῆς Βλαχίας καὶ Μολδαβίας.

ρίου [1])· ἔχει δὲ τὸ Μοναστήριον καὶ κειμήλια ἱκανὰ ἁγίων λειψάνων, καὶ μίαν εἰκόνα τῆς Θεοτόκου μεγάλην καὶ παλαιοτάτην, ἔσωθεν μὲν ὀρειχάλκῳ (§.λε') ἔξωθεν δὲ ἀργύρῳ ἐσκεπασμένην, ἐν ᾗ εἰσι καὶ γράμματα ἰβηρικά, διαλαμβάνοντα, ὅτι ἡ εἰκὼν ἐστιν ἰβηρικὴ ἀπό τινος ἐκεῖσε Μοναστηρίου τῆς Γεωργίας (α) κατὰ τὸ Κὰρς κειμένου· πῶς δὲ καὶ πότε μετεκομίσθη ἐκεῖθεν ἄδηλον· πλὴν ἐκ παραδόσεως ἔχουσιν, ὅτι μετὰ τὴν ἅλωσιν τούτων τῶν μερῶν τῆς Θράκης, εὑρέθη ἡ εἰκὼν ἔν τινι σπηλαίῳ, ἕως ἡμισείας ὥρας ἀπέχοντι ἀπὸ τοῦ Μοναστηρίου κατὰ τὴν νότιον πλευρὰν τοῦ σχίσματος τοῦ ὄρους, ὅπερ καλοῦσι τὴν σήμερον Κλωβίον, ὅπου ἐστὶ καί τις Ἐκκλησία τῆς Θεοτόκου καὶ παρ' αὐτῇ ἁγίασμα· καὶ κατὰ πᾶν ἔτος τῇ δευτέρᾳ τῆς διακαινησίμου, ἡμθ' ἣν ἡμέραν λέγουσιν, ὅτι εὑρέθη ἡ εἰκών, λιτανεύουσι μετ' αὐτῆς ἕως ἐκεῖ εἰς τὸ ῥηθὲν Κλωβίον, καὶ ποιοῦσι λειτουργίαν ἐν τῇ παρακειμένῃ Ἐκκλησίᾳ τῆς Θεοτόκου, συντρέχοντες πολλοὶ καὶ ἀπὸ τῶν πέριξ κωμῶν, καὶ χωρίων.

§. νδ'. Παύλισκον, χώρα τῆς Φιλιππουπόλεως ἐπὶ τοῦ ὄρους κειμένη ἄνωθεν τοῦ Μοναστηρίου πρὸς λιβόνοτον (§. λϛ'.) κατὰ τὸν αὐτὸν ποταμόν, ἔνθα εἰσὶ πρισήρια ἱκανά, ἀλλ' οἱ πλείους εἰσὶ ποιμένες· ἀπέχει δὲ τὸ Παύλισκον τοῦ μὲν Μοναστηρίου πρὸς λιβόνοτον, ὡς ἔφημεν, ὡρῶν πέντε ἐγγύς, τοῦ δὲ Μαρκόβου πρὸς νότον ὥρας ἑπτά.

§. νε'. Τσεπελάρι, χωρίον καὶ αὐτὸ Φιλιππουπόλεως ἀπέχον τοῦ Παυλίσκου ὁμοίως πρὸς λιβόνοτον (§. λϛ'.) ἕως τριῶν ὡρῶν· ἄνωθεν τούτου τοῦ χωρίου ἕως δύω ὡρῶν, πηγάζει ὁ ποταμὸς τῆς Στενημάχου ἐκ τοῦ αὐτοῦ ὄρους· καὶ ἐκεῖ ἐστι τὸ σύνορον τῆς Ἐπαρχίας Φιλιππουπόλεως μετὰ τῆς Ξάνθης· ἐπέκεινα τούτου τοῦ χωρίου πρὸς δυσμὰς ἕως τριῶν ὡρῶν ἐστι καὶ ἕτερον χωρίον καλούμενον Σιρόκα Λέκκα, καὶ αὐτὸ σύνορόν ἐστι τῆς Ξάνθης.

§. νϛ' Τοπόλοβον, χωρίον καὶ αὐτὸ Φιλιππουπόλεως, ἀπέχον τοῦ Τσεπελαρίου πρὸς καικίαν ἄνεμον (§ ϛ'.) ἕως πέντε ὡρῶν ἐπὶ τοῦ αὐτοῦ ὄρους κείμενον· ὅπερ εἰς τὴν ἑλληνικὴν γλῶσσαν μεθερμηνεύεται λεύκη· καὶ ἴσως αὕτη ἐστὶν ἡ ἐπισκοπὴ Λεύκη.

§. νζ'. Ἀπὸ τῆς Λεύκης ἐὰν καταβῇς τὸ ὄρος πρὸς καικίαν (§. ϛ'.) ὁμοίως πορευόμενος ἕως δύω, ἢ τριῶν ὡρῶν, εἰς τοὺς πρόποδας τοῦ αὐτοῦ ὄρους κεῖνται δύο χωρία καλούμενα Ἀλβανιτοχωρία μέγα καὶ μικρόν, ἕως μιᾶς ὥρας τὸ ἓν ἀπὸ τοῦ ἄλλου ἀπέχοντα, καὶ ἀπ' ἐκείνων αὖθις ἕως ὥρας μιᾶς ἕτερον χωρίον Τσερβενά, ἐν οἷς οἱ πλείους εἰσὶν ἀνθρακεῖς, ἤγουν καρβουνάρηδες.

§. νη'. Μολδάβα, χωρίον μικρὸν μέσον τῶν Τσερβενῶν καὶ τῆς Στε-

---

1) Σ.Δ. Βλ. Τυπικὸν τῆς μονῆς παρὰ Luis Petit καὶ Γ. Μουσαίῳ (Θρακικὰ 7 τ.) *Μ. Ἀποστολίδου.*

(α) Ἡ Γεωργία λέγεται καὶ Ἰβηρία, καὶ κοινῶς Γκιουρτσία.

νημάχου, κείμενον εἰς τὴν αὐτὴν ὑπώρειαν τοῦ ὄρους· ἄνωθεν δὲ αὐτοῦ τοῦ χωρίου ἐστί τι Μοναστήριον τῆς ἁγίας Παρασκευῆς, ἐπονομαζόμενον καὶ αὐτὸ Μολδάβα, ὡραῖον πάνυ διὰ τὴν τοποθεσίαν, καὶ εὐρύχωρον· ἀλλὰ καὶ ἡ ἐν αὐτῷ Ἐκκλησία νεωστὶ ἀνῳκοδομήθη εἰς ὕψος καὶ μέγεθος θαυμάσιον· κάτωθεν τούτου τοῦ Μοναστηρίου ἕως εἴκοσι λεπτῶν τῆς ὥρας ἐν τῇ ὑπωρείᾳ, πηγάζει εἷς ποταμὸς ἱκανὸς Τεσσαράκοντα βρύσεις καλούμενος.

§. νθ'. Καρᾶ Ῥεΐζι, χώρα καὶ αὕτη Φιλιππουπόλεως ἀπέχουσα τῆς Στενημάχου πρὸς ἀνατολὰς ὑπὲρ μίαν ὥραν καὶ ἡμίσειαν· οἱ κάτοικοι αὐτῆς γεωργοί εἰσιν οἱ πλείους τῆς ὀρύζης, ὅτι ἐν αὐτῇ πρῶτον μετεκομίσθη ἀπ' Αἰγύπτου ὁ σπόρος τῆς ὀρύζης, καὶ ἐκ ταύτης μετεδόθη εἰς πᾶσαν τὴν λοιπὴν Ἐπαρχίαν· ἴσως δὲ καὶ εἰς πᾶσαν τὴν εὐρωπαϊκὴν Τουρκίαν.

§. ξ'. Παπασλί. χωρίον τῆς Φιλιππουπόλεως πλησίον τοῦ Ἕβρου ποταμοῦ, ἀπέχον τῆς μὲν Στενημάχου πρὸς καικίαν (§. ς'.) ἕως τριῶν ὡρῶν, τῆς δὲ Φιλιππουπόλεως πρὸς εὖρον, μεταξὺ δηλαδὴ ἀνατολῆς, καὶ νότου μικρόν, ἕως ὡρῶν πέντε καὶ ἡμισείας· ἀκουστὸν δὲ τὸ χωρίον διὰ τὸ ἐν αὐτῷ μέγα καὶ θαυμάσιον πανδοχεῖον· ὅπερ ἐστὶ κτίσμα παλαιὸν λιθόκτιστον μετὰ θόλων καὶ μολυβδωτόν, ἤτοι μοδύβδῳ ἐσκεπασμένον, καὶ πρῶτον κατάλυμα τῶν ἀπὸ Φιλιππουπόλεως εἰς Ἀδριανούπολιν ἀπερχομένων ὁδοιπόρων.

§ ξα'. Δερβέντι, Γενὶ Μαχαλές, χωρίον τῆς Φιλιππουπόλεως ὑστερογενές, κείμενον κατὰ τὴν αὐτὴν ὁδόν, τὴν ἀπάγουσαν εἰς Ἀδριανούπολιν, ἐπέκεινα τοῦ χωρίου Παπασλὶ ἕως δύω ὡρῶν καὶ ἡμισείας· ἔνθα περατοῦται ἡ Τοπαρχία Φιλιππουπόλεως, καὶ ἄρχεται ἡ τοῦ Χάσκιογι.

§. ξβ'. Κουροῦ Τσεσμές, χώρα τοῦ Χάσκιογι, ἀπέχουσα τοῦ Γενὶ Μαχαλὲ πρὸς εὖρον (§. ξ'.) ἕως ὡρῶν τριῶν· γεωργοὶ πάντες.

§. ξγ'. Χάσκιογι, πόλις καὶ Τοπαρχία ἰδιαιτέρα, περιέχουσα ἕως τριακόσια χωρία· ὧν τὰ μὲν τουρκικὰ δι' ὅλου, τὰ δὲ σύμμικτα Χριστιανοῖς, πάνυ, δὲ ὀλίγα ὑπὸ Χριστιανῶν μόνον οἰκούμενα· καὶ τὰ μὲν ὑπὸ τὴν Ἐπαρχίαν Φιλιππουπόλεως τελοῦντα, εἰσὶν ἕως πεντήκοντα τὸν ἀριθμόν, τὰ δὲ λοιπὰ ὑπὸ τὴν Ἐπαρχίαν Ἀδριανουπόλεως. Ἐν ταύτῃ τῇ πόλει ἤδη κάθηται ὁ Σατράπης Τσερμενίου· ἔστι δὲ ἡ πόλις κειμένη πλησίον τῆς ὑπωρείας τοῦ ὄρους Ῥοδόπης, ἀπέχουσα τῆς Κουροῦ Τσεσμὲ πρὸς εὖρον (§. ξ.) ὁμοίως ἕως ὡρῶν τριῶν· οἱ κάτοικοι ταύτης εἰσὶ Τοῦρκοι τὰ τρία τέταρτα, καὶ τὸ ἓν τέταρτον Χριστιανοί· εὔφορος δὲ ὁ τόπος λίαν σίτου, καὶ ὀσπρίων παντοίου εἴδους, μάλιστα δὲ τῶν ἐρεβίνθων, καὶ νικοτιανῆς, ἤγουν καπνοῦ, καὶ οἴνου, καὶ μετάξης, καὶ σησάμου, καὶ ἄλλων ἱκανῶν προϊόντων.

§. ξδ'. Οὐζουντσόβα, χώρα καὶ αὕτη Χάσκιογι ἀπέχουσα τῆς Χάσκιογι ἕως δύω ὡρῶν πρὸς καικίαν. (§. ς'.) αὕτη κεῖται κατὰ τὴν μέσην ὁδόν, τὴν ἀπάγουσαν ἀπὸ Φιλιππουπόλεως εἰς Ἀδριανούπολιν· ἐξάκουστος δέ ἐστι διὰ τὴν πρότερον ἐν αὐτῇ συνισταμένην πανήγυριν· ἥτις ἐγίνετο κατὰ τὰς ἀρχὰς τοῦ Σεπτεμβρίου μηνός, καὶ συνήγοντο πραγματευταὶ οὐ μό-

νον ἀπὸ τῆς Τουρκίας, ἀλλὰ καὶ ἐκ πολλῶν μερῶν τῆς Εὐρώπης· πάλιν δὲ ἤρξατο γίνεσθαι ἡ πανήγυρις ὡς καὶ πρότερον.

§. ξε΄. Τούρναβος, χωρίον Χάσκιογι ἕως δύω ὡρῶν καὶ ἡμισείας ἐπέκεινα τῆς Οὐζουντσόβας πλησίον τοῦ Ἕβρου ποταμοῦ.

§. ξς΄. Ἀϊβατσίκι, χωρίον καὶ αὐτὸ Χάσκιογι ἕως ἡμισείας ὥρας ἀπέχον τῆς Τουρνάβου πρὸς νότον.

§. ξζ΄. Χαρμανλί, καὶ τοῦτο χωρίον τῆς Τοπαρχίας Χάσκιογι ἕως τεσσάρων ὡρῶν ἐπέκεινα τῆς Οὐζουντσόβας κείμενον κατὰ τὴν αὐτὴν ὁδόν, τὴν ἀπάγουσαν εἰς Ἀδριανούπολιν, πλησίον τοῦ ποταμοῦ Ἕβρου, τοῦ δὲ Ἀϊβατσικίου ἕως ὥρας μιᾶς ἀπέχον· ἐξάκουστον δὲ ἐστι διὰ τὸ ἐν αὐτῷ μέγιστον, καὶ λιθόκτιστον μετὰ θόλων πανδοχεῖον. τοῦτο μὲν τὸ χωρίον Χαρμανλὶ περιορίζεται εἰς τὴν Ἐπαρχίαν Ἀδριανουπόλεως, τὸ ἐντεῦθεν ὅμως τοῦ χωρίου ἐστὶ μέρος τῆς Ἐπαρχίας Φιλιππουπόλεως· διότι ἐκ τῆς δυτικῆς πλευρᾶς αὐτοῦ τοῦ χωρίου διέρχεταί τις χειμαῤῥος, καὶ ἔστι γέφυρα, ἔνθα περατοῦται πᾶσα ἡ Ἐπαρχία Φιλιππουπόλεως.

§. ξη΄. Ἐπειδὴ οὖν κ" ἐγὼ τὴν περιγραφὴν τῆς Ἐπαρχίας ταύτης ἔγραψα ὅσον ἠδυνήθην, συγγνώμην ἤδη ἐξαιτοῦμαι παρὰ τῶν ἀναγινωσκόντων διὰ τὰ ἐσφαλμένα καὶ ἐλλείποντα, καὶ οὕτω πέρας τῷ ἐγχειριδίῳ τίθημι.

Τὰ ἐν τοῖς δέκα Νομίσμασι γράμματα ἐτυπώθησαν ἐνταῦθα πρὸς εὐχερεστέραν ἀνάγνωσιν· τὸ δὲ ἐν αὐτοῖς στοιχεῖον C *δηλοῖ* Σ.

1 (ΑΥΤ. ΑΙ. ΑΔΡΙ. ΑΝΤΩΝΙΝΟC.
(ΗΓΕ. ΠΟΜ. ΟΥΟΠΕΙCΚΟΥ ΦΙ-
(ΛΙΠΠΟΠΟΛΙΤΩΝ.

2 (ΑΥΤ. Κ. Μ. ΑΥΡ. CΕΥ. ΑΝΤΩ-
(ΝΕΙΝΟC.
(ΚΟΙΝΟΝ ΘΡΑΚΩΝ ΑΛΕΞΑΝΔΡΙΑ.
(ΕΝ ΦΙΛΙΠΠΟΠΟΛΙ.
(ΠΥΘΙΑ.

3 (ΑΥΤ. Κ. Μ. ΑΥΡ. ΑΝΤΩΝΕΙΝΟC.
(ΜΗΤΡΟΠΟΛΕΩC ΦΙΛΙΠΠΟΠΟ-
(ΛΕΩC
(ΝΕΩΚΟΡΟΥ.

4 (ΑΥΤ. Κ. Μ. ΑΥΡΗΛ. ΑΝΤΩΝΕΙ-
(ΝΟC CΕΒ.
(ΜΗΤΡΟΠΟΛΕΩC ΦΙΛΙΠΠΟΠΟ-
(ΛΕΩC.
(ΝΕΩΚΟΡΟΥ.

5 (ΑΥΤ.... CΕΥΗΡΟC.
(ΦΙΛΙΠΠΟΠΟΛΕΙΤΩΝ.

6 (ΑΥΤ. CΕΥΗΡΟC.
(ΦΙΛΙΠΠΟΠΟΛΙΤΩΝ.

7 (ΦΑΥCΤΕΙΝΑ CΕΒΑCΤΗ.
(ΦΙΛΙΠΠΟΠΟΛΕΙΤΩΝ.

8 (ΑΥ. Κ. Λ... CΕΥΗΡ..
(ΦΙΛΙΠΠΟΠΟΛΕΙΤΩΝ.

9 (ΑΥΤ. Κ. Π. CΕΠΤΙ. ΓΕΤΑC.
(ΦΙΛΙΠΠΟΠΟΛΕΙΤΩΝ.

10 (Μ. ΑΥΡΗ. ΟΥΗΡΟC ΚΑΙCΑΡ.
(ΦΙΛΙΠΠΟΠΟΛΕΙΤΩΝ.

Σ η μ.—Ὁ Πίνοξ Β' μὲ τίτλον : «*ἐκτυπώματα τῶν ἀρχαίων Νομισμάτων Φιλιππουπόλεως ἐκ τοῦ ἐν Βιέννῃ Κ. Β. Μουσείου*». Ἡ ὠχρότης τῆς ἀποτυπώσεως τῶν νομισμάτων δὲν ἐπέτρεψε νὰ γίνῃ ἀνάλογον κλισὲ πρὸς ἐκτύπωσιν.

ΘΕΟΔΟΣΙΟΥ ΜΙΧ. ΜΑΥΡΟΜΜΑΤΗ

ΟΙ ΙΠΠΙΚΟΙ ΑΓΩΝΕΣ ΤΗΣ ΠΑΛΑΙΑΣ ΑΓΧΙΑΛΟΥ

ΝΟΜΙΣΜΑΤΑ ΚΑΙ ΕΠΙΓΡΑΦΑΙ

Τὴν τελευταίαν ἡμέραν τῆς ἀποκριᾶς, τὸ βράδυ πρὶν ἀπὸ τὴν δύσι τοῦ ἡλίου στὴν συνοικίαν τῆς Σούδας καὶ τοῦ Χριστοῦ ἐγίνετο μεγάλη κίνησις. Ὅλη ἡ Ἀγχίαλος στὸ πόδι. Ἐκεῖ μαζεύονταν ἄντρες-γυναῖκες, παιδιά. Καθισμένοι στὶς χαμηλὲς κουμουλιές, περίμεναν μὲ πολλὴν ἀνυπομονησίαν καὶ μεγάλο ἐνδιαφέρον νὰ δοῦν τὰ ἄλογα ποὺ μπαραμπάτιζαν (τρέχαν) ἀπὸ τὰ Πηγάδια (τοποθεσία), νὰ φθάσουν στὴν Δέση, ὅπου ἦταν τὸ τέρμα καὶ νὰ δοῦν ποιανοῦ τὸ ἄλογο ἤρθε πρῶτο καὶ ἐνίκησε. Ἐκείνην τὴν ἡμέραν οἱ Ἀγχιαλῖται, ὅσοι εἶχαν καλὰ ἄλογα (ὁ Γιάννης Τσουμέρης, ὁ Χατζηθοδώρογλου ὁ Βλασάκης) τὰ στέλναν νὰ πάρουν μέρος στὸ μπαραμπάντισμα *(παραβάδισμα* [1] ἐλέγετο ὁ ἀγὼν) καὶ τὰ καβαλίκευαν ἢ οἱ ἴδιοι οἱ νυκοκυραῖοι ἢ τὰ δίναν σὲ νεαροὺς ἐπιδέξιους ἀναβάτας, ὅπως ὁ Τριαντάφυλλος Σταματίου. Ὑπῆρχε ἐπιτροπὴ ποὺ ἔδινε τὸ πρόσταγμα τῆς ἐκκινήσεως. Βραβεῖον ἐδίδετο στὸν νικητή, ἕνα σακκὶ κριθάρι ἢ βρώμη. Ἕνα ἀπὸ τὰ διακρινόμενα ἄλογα ἦταν τὸ «Μιλέτ». Ὅταν τὰ ἄλογα φθάναν στὸ τέρμα τοῦ παραβαδίσματος καὶ ἐγίνετο γνωστὸ ποιανοῦ ἄλογο ἤρθε πρῶτο, τὸ πλῆθος διελύετο καὶ τἄλογα τὰ πηγαίναν στ' ἀχούρια τους. Τὸ διάστημα τῆς ἱπποδρομίας ἦταν $1^1/_2$—2 χιλιόμετρα στὴν ἀμμώδη παραλία.

Τὸ ἔθιμον αὐτὸ φαίνεται, ὅτι ἦταν ἀπομεινάριον ἀγώνων τῆς ἀρχαίας Ἀγχιάλου (Ἴδε ἱστορία Νομισμάτων Head τ. Α' σελ. 348) καὶ εἶχε διατηρηθῆ ἀπὸ τῆς ἀρχαιοτάτης ἑλληνικῆς ἐποχῆς (V αἰὼν π. Χρ.) ὡς τὴν Τουρκοκρατίαν. Πραγματικὰ στὴν ἀρχαίαν Ἀγχίαλον εἶναι γνωστὸν ὅτι ἐγίνοντο ἀγῶνες, πανηγύρεις καὶ ἑορταὶ τὰ λεγόμενα ΝΥΜΦΙΑ πρὸς τιμὴν τῶν τοπικῶν νυμφῶν, ὅπως τοῦτο ἐπιβεβαιοῦται ἀπὸ ἐπιγραφὰς πάνω στὰ νομίσματα ἢ ἀναμνηστικὰ μετάλλια τῆς Ἀρχαίας Ἀγχιάλου, τῆς ὁποίας συλλογὴ νομισμάτων ὑπῆρχε εἰς τὸ νομισματικὸν μουσεῖον τοῦ Βερολίνου. Περιγραφὴ τῶν νομισμάτων τῆς ἀρχ. Ἀγχιάλου ἔκαμε ὁ γερμανὸς ἀκαδημαϊκὸς Μὰξ Λ. Στράκ, ὅστις καὶ ἐτύπωσεν αὐτὰ εἰς τρεῖς πίνακας. Ἡ περιγραφὴ τῶν νομισμάτων τῆς ἀρχ. Ἀγχιάλου, ὅπως καὶ οἱ τρεῖς πίνακες αὐτῶν ἐδημοσιεύθησαν ὑπὸ τῆς Ἀκαδημίας τοῦ Βερολίνου τὸ 1912 εἰς τὸ σύγγραμμα : (Die antiken Münzen von Thrakien bearbeit von Friedrich Münzer und Max L. Strack. Erster Teil Heift I Die Münzen der Thrakier und der Stadte Abdera, Ainos, Anchialos unter miturikung von Fritze bearbeit von Max L. Strack Tafeln I—VIII Berlin Druck und verlag von Georges Reimer 1912 Berlin W 35).

1) Παραβαδίζω=βαδίζει ὁ ἕνας παρὰ τὸν ἄλλον (συναγωνίζομαι).

Μία ἐπιγραφὴ πάνω σὲ νόμισμα λέγει: «ΝΥΜΦΙΑ ΣΕΒΗΡΙΑ». Δηλαδὴ ἡ ἑορτὴ ΝΥΜΦΙΑ ἦταν ἀρχαία κατόπιν δὲ πρὸς τιμὴν τοῦ Ρωμαίου Αὐτοκράτορος Λουκίου Σεβήρου (193—211 μ. Χ.) ὠνομάσθησαν Νύμφια Σεβήρια ἀπὸ τοῦ ἔτους 193—196 μ. Χ. δηλαδὴ κατὰ τὸ χρονικὸν διάστημα τῆς διεξαγωγῆς τοῦ πολέμου ἐναντίον τοῦ ἀντιπάλου αὐτοῦ Πεσκινίου Νίγηρος, τὸν ὁποῖον ἐνίκησεν ὁ Σ. Σεβῆρος καὶ τὴν ἅλωσιν τοῦ Βυζαντίου 196 μ.Χ. μετὰ τριετῆ πολιορκίαν. Φαίνεται ὅτι ἡ ἀρχαία Ἀγχίαλος κατὰ τὸν πόλεμον τοῦτον ἦτο μὲ τὸ μέρος τοῦ αὐτοκρ. Σ. Σεβήρου δι' ὃ καὶ οὗτος τὴν ἐπροστάτευσε ἢ ἄλλως τὴν εὐεργέτησε.

Εἰς τὴν ἄλλην πλευρὰν τοῦ νομίσματος ὁ τύπος παριστάνει μίαν τράπεζαν ἐπάνω στὴν ὁποίαν ὑπάρχει ἓν δοχεῖον μὲ ἐξέχον πτερόν. Τὸ δοχεῖον θὰ περιεῖχε τὸ ἔλαιον μὲ τὸ ὁποῖον ἠλείφοντο πρὶν ἀπ' τὸν ἀγῶνα οἱ ἀγωνισταί. Ὅτι ἐγίνοντο καὶ ἱππικοὶ ἀγῶνες στὴν ἀρχαίαν Ἀγχίαλον τὸ ἐπιβεβαιοῖ καὶ ὁ τύπος πολλῶν χαλκῶν νομισμάτων τῆς ἀρχ. Ἀγχιάλου (Ἱππεύς, Τέθριππον, Γυνή, καθημένη σὲ ἅρμα συρόμενον ἀπὸ δύο ἵππους, Ἄνθρωπος ὄρθιος κρατῶν διὰ τῆς δεξιᾶς τὴν χαίτην ἵππου καὶ διὰ τῆς ἀριστερᾶς τὴν οὐρὰν αὐτοῦ). Συγχρόνως δὲ ἐπιβεβαιοῦται, ὅτι ἡ Ἀγχίαλος ἀπὸ τῶν ἀρχαιοτάτων χρόνων ἔτρεφε ἵππους.

Ἡ Ἀγχίαλος ἐπὶ Ρωμαιοκρατίας ἤκμασε καὶ πολὺ ἐπροστατεύθη ἀπὸ τὸν ρωμαῖον αὐτοκράτορα Μάρκον Νέρβαν Οὔλπιον Τραϊνὸν (98—117 μ.Χ) καὶ πρὸς τιμήν του ὠνομάσθη Οὐλπία Ἀγχίαλος. (Οὔλπιος ἐλέγετο ὁ πατὴρ τοῦ αὐτ. Τραϊανοῦ). Ὅπως γνωρίζουμε ἀπὸ τὴν ἱστορίαν ὁ αὐτοκράτωρ Τραϊνὸς διεξήγαγε δύο πολέμους ἐναντίον τῶν Δακῶν, οἱ ὁποῖοι εἶχον βασιλέα τὸν Δεκέβαλον, κατὰ τὸ 101 μ. Χ. καὶ 104—106 μ. Χ. κατὰ τοὺς ὁποίους τοὺς ἐνίκησε κατὰ κράτος. Κατὰ τὸ χρονικὸν αὐτὸ διάστημα αἱ Ἑλληνικαὶ πόλεις τῆς δυτικῆς παραλίας τοῦ Εὐξείνου Πόντου, μεταξὺ τῶν ὁποίων καὶ ἡ ἀρχ. Ἀγχίαλος, ἐβοήθησαν τὸν αὐτοκρ. Τραϊανὸν πρὸς νικηφόρον διεξαγωγὴν τῶν Δακικῶν πολέμων, οὗτος δὲ ἔκτισεν εἰς τὴν Θράκην καὶ Μυσίαν πολλὰς πόλεις καὶ ἄλλας ἀνακαίνισε. Οἱ κάτοικοι τῆς ἀρχ. Ἀγχιάλου ὠνομάζοντο «Οὐλπιανοὶ Ἀγχιαλεῖς» ὅπως φαίνεται ἀπὸ τὰς ἐπιγραφὰς πολλῶν νομισμάτων (Ἴδε τοὺς 3 πίνακας τῶν νομισμάτων τῆς ἀρχ. Ἀγχιάλου Max L. Strack. Anchialos Seite 203—308. Tefeln V, VI, VII, VIII). Ἐλέγοντο Οὐλπιανοὶ Ἀγχιαλεῖς, ὅπως φαίνεται σὲ μιὰ ἐπιγραφή, ἡ ὁποία ἦταν ἐντειχισμένη εἰς τὸν δεξιὸν ἐσωτερικὸν τοῖχον τοῦ παρεκκλησίου «Παναγίας Χαριτωμένης», ἡ ὁποία ἦταν ἐκτισμένη ἀπὸ λείψανα ἀρχαίων κτιρίων καὶ τὴν ὁποίαν ἀναφέρει ὁ γάλλος ἀρχαιολόγος Homolle (ἴδε Melanges d'Archeologie et Epigraphie 1892 ed. Paris pages 464—465). Ὁλόκληρον τὸ κείμενον τῆς ἐπιγραφῆς (ψηφίσματος) ἔχει ὡς ἑξῆς: Αὐτοκράτορα Καίσαρα (Μ. Αὐρήλιον) Ἀντ)ωνεῖνον (Εὐσεβῆ, Σεβαστὸν Ἀραβικόν, Ἀδιαβητικόν, Παρθικόν, Μεγ)ιστον ἡ (βουλὴ καὶ ὁ λαμπρότατος δῆμος Οὐλπιανῶν Ἀγχ)ιαλέων δια Φλ(αουίου) Κλαυδιανοῦ.

Ἡ ἐπιγραφὴ αὕτη εἶναι πολὺ σπουδαία διὰ τὴν ἱστορίαν τῆς πόλεως Ἀγχιάλου κατὰ τὴν Ρωμαιοκρατίαν καὶ λέγει πολλὰ 1) ὅτι ἐπὶ Ἀντωνίνων ἐλέγοντο οἱ κάτοικοι τῆς Ἀρχαίας Ἀγχιάλου Οὐλπιανοὶ Ἀγχιαλεῖς 2) ὅτι εἶχε πολίτευμα δημοκρατικὸν μὲ βουλὴν καὶ δῆμον 3) ὅτι ἡ Ἀγχίαλος ἤκμαζε (ὁ λαμπρότατος δῆμος) 4) ὅτι ζοῦσαν εἰς αὐτὴν καὶ Ρωμαῖοι (Φλάβιος Κλαυδιανὸς) 5) ὅτι ἐπικρατοῦσε ἡ ἑλληνικὴ γλῶσσα. Δὲν ἀναφέρεται διὰ ποῖον λόγον ἐγράφη αὐτὸ τὸ ψήφισμα πρὸς τιμὴν τοῦ αὐτοκρ. Μάρκου Αὐρηλίου τοῦ Σοφοῦ· φαίνεται ὅμως ὅτι ἔχει σχέσιν μὲ τοὺς πολέμους ποὺ διεξήγαγεν ὁ Μ. Αὐρήλιος ἐναντίον τῶν Δακῶν καὶ ἄλλων Γερμανικῶν φύλλων, ποὺ εἰσέβαλον εἰς τὴν Δακίαν καὶ Μοισίαν, Ἐγράφη ἡ ἐπιγραφὴ κατὰ τὸ 139 μ.Χ. ἢ καὶ μετὰ τὸ ἔτος τοῦτο, ὅταν ἐκηρύχθη Καῖσαρ ὁ Μάρκος Αὐρήλιος, ποὺ ἔγραψε : *Τὰ καθ' ἑαυτὸν* ὡς φιλόσοφος.

ΑΠΩΛΕΣΘΕΝΤΑ ΕΡΓΑ ΤΕΧΝΗΣ ΤΩΝ ΝΑΩΝ ΤΗΣ ΚΩΝ/ΛΕΩΣ ΤΟ ΒΑΡΒΑΡΟΝ ΕΤΟΣ ΤΩΝ ΝΥΝ ΤΟΥΡΚΩΝ 1955

Ἐνδιαφέρουσαι πραγματικὰ ἦσαν αἱ πληροφορίαι τοῦ Κωνσταντινουπολίτου ἀρχιτέκτονος κ. Χριστοφόρου Ἰορδανίδου, περὶ τῶν ἐκεῖ ναῶν, ποὺ ἐπεσκευάσθησαν, κατόπιν τῆς πυρπολήσεώς των ἢ τῆς καταστροφῆς τοῦ ἐσωτερικοῦ των κατὰ τὴν τραγικὴν ἐκείνην νύκτα τῆς 6ης Σεπτεμβρίου 1955. Θὰ ἔπρεπε ὅμως νὰ σημειωθῇ ὅτι οἱ ναοὶ αὐτοὶ δὲν πρόκειται νὰ ἐπανέλθουν εἰς τὴν προτέραν των θέσιν. Αὐτὸ οὔτε νὰ τὸ φαντασθῇ κανείς, τουλάχιστον γιὰ ὡρισμένους ἐξ αὐτῶν καὶ ἐν πρώτοις ἐκείνους ποὺ ἔμειναν τέσσαρες τοῖχοι. Πρόκειται περὶ ἐκκλησιῶν, ἰδίως δὲ τῆς Ἀρχιεπισκοπῆς Κωνσταντινουπόλεως, μὲ ἐσωτερικὸν πλοῦτον δύο, τριῶν αἰώνων, ἂν ὄχι παλαιοτέρας ἐποχῆς. Εἶναι ἐκκλησίες, τὶς ὁποῖες ἀναφέρουν ὁ Γκέρλαχ (1576), ὁ Τρύφων Καραμπέϊκωφ (1593), ποὺ ἔφθανε εἰς τὴν Κωνσταντινούπολιν κατ' ἐντολὴν τοῦ Τσάρου Φιόδωρ Ἰβάνοβιτς, γιὰ νὰ διανείμη χρηματικὰ βοηθήματα εἰς τὸν κλῆρον τῶν ναῶν τῆς Κων)πόλεως, ὁ Ἀθηναῖος Πατεράκης (1604), ποὺ ὁμιλεῖ περὶ 47 ἐκκλησιῶν, ἐνῷ 46 ἦσαν κατὰ τὸν τσαρικὸν ἀπεσταλμένον, ὁ Θεοδόσιος Ζυγομαλᾶς, Μέγας Πρωτονοτάριος ἐπὶ πατριάρχου Ἱερεμία τοῦ Β', ὁ Γάλλος Γκὺ καὶ ἄλλοι. Ἐπὶ πλέον δὲ μεταξὺ τῶν ναῶν ποὺ κατεστράφη τὸ ἐσωτερικόν των, εἶναι καὶ ἡ Παναγία τοῦ Μουχλιοῦ, ὁ μόνος βυζαντινὸς ναός, ποὺ ὡς ἀσήμαντος, ὅπως ἐξ ἄλλου καὶ ἡ Παναγία ἡ Καμαριώτισσα τῆς νήσου Χάλκης, δὲν μετετράπησαν, μετὰ τὴν ἅλωσιν, σὲ τζαμιὰ καὶ ἀφέθησαν εἰς τὴν Ρωμηοσύνη.

Ὁ μεγαλύτερος ἀπ' τοὺς ναούς, ποὺ κατεστράφη τὸ ἐσωτερικόν του, εἶναι τοῦ Προφήτου Ἠλία εἰς τὸ Σκούταρι τῆς Μικρασιατικῆς Κωνσταντινουπόλεως, τῆς ἐπαρχίας Χαλκηδόνος, ποὺ ἐκτίσθη ἐπὶ σουλτάνου Μουρὰτ τοῦ

3ου (1574—1595), ὅστις ἐξέδωκε φιρμάνι, κατὰ παράκλησι τῆς μητέρας του, τῆς Βαλιδὲ σουλτάνας, Ἑλληνίδος τὴν καταγωγήν, Κερκυραίας, θυγατρὸς τοῦ Νικολάου Καρτάνου. Ἔργα τέχνης ἀνεκτίμητα καὶ κειμήλια ἐκάησαν, κατεστράφησαν ἢ ἀπωλέσθησαν, ἀρκετὰ δὲ ἐξ αὐτῶν βυζαντινῆς ἢ μεταβυζαντινῆς ἐποχῆς. Μεταξὺ δὲ τῶν ἀπωλεσθέντων εἶναι καὶ ἡ εἰκὼν «Φιλοξενία τοῦ Ἀβραὰμ» τοῦ 14ου αἰῶνος, τοῦ ναοῦ τῆς Ζωοδόχου Πηγῆς Βαλουκλῆ.

Ἐκάη ἐξ ἄλλου ἡ εἰκὼν τῆς Παναγίας τοῦ ναοῦ τοῦ Βελιγραδίου, παρὰ τὴν βυζαντινὴν στρατιωτικὴν πύλην τῶν Γότθων, τοῦ «Μπελγκρὰδ καποὺ» τῶν Τούρκων τοῦ χερσαίου τείχους, ἔργον τοῦ 15ου αἰῶνος, τύπου Ὁδηγητρίας, κειμήλιον τῶν Σέρβων, ποὺ ἐγκατεστάθησαν εἰς τὸ τμῆμα αὐτὸ τῆς Κωνσταντινουπόλεως ἐπὶ σουλτάνου Σουλεϊμὰν τοῦ Νομοθέτου (1520—1566) καὶ ἐξελληνίσθησαν βαθμηδόν, ὅπως καὶ ἄλλες εἰκόνες ἐκλεκτῆς τέχνης, τοῦ αὐτοῦ ναοῦ, τοῦ 15ου καὶ 16ου αἰῶνος, μεταξὺ τῶν ὁποίων ἦτο καὶ ἡ εἰκὼν τοῦ Χριστοῦ Παντοκράτορος. Ἐκάη ἐπίσης καὶ ἡ περίφημη εἰκὼν τῆς Παναγίας Γοργοεπηκόου, τοῦ πυρποληθέντος ναοῦ τῶν Ἐξ Μαρμάρων, τύπου Ὁδηγητρίας καὶ αὐτῆς, τοῦ 14ου αἰῶνος. Ἐκάη ἐπίσης ὁ θαυμάσιος ἐπιτάφιος τοῦ πυρποληθέντος ναοῦ τῶν Ἁγίων Θεοδώρων τῆς Βλάγκας, τῶν ἀρχῶν τοῦ 18ου αἰῶνος, ἔργον τῆς κεντησιρίας Δεσποινέτας τοῦ Ἀργύρη, ἔργα τῆς ὁποίας ὑπάρχουν εἰς τὸ ἐδῶ Μουσεῖον Μπενάκη. Ἀπωλέσθη ἀφιέρωμα μὲ ἔμμετρον ἐπιγραφὴν τῆς συντεχνίας τῶν Καστοριανῶν γουναράδων τῆς Πόλης, ἐκλάπη τὸ κάλυμμα Εὐαγγελίου ἀπὸ σφυρηλατημένον ἀσήμι, δωρεὰ τοῦ ἡγεμόνος, «μπέη ζαντέ», τῆς Μολδοβλαχίας Κατακουζηνοῦ, ἐκάησαν δὲ ἢ κατεστράφησαν εἰς ἄλλους ναοὺς εἰκόνες τῆς Κρητικῆς σχολῆς τοῦ 17ου αἰῶνος. Εἰς τὴν μίαν πρὸ τοῦ νεκροῦ Ἰησοῦ ἵσταντο δύο ὑποκλινόμενοι ἄγγελοι, κρατοῦντες ριπίδια.

Ἀπωλέσθησαν τέλος ἀργυρᾶ Ἅγια Ποτήρια ἐξόχου τέχνης τοῦ 17ου αἰῶνος, δωραιαὶ ἡγεμόνων τῆς Μολδοβλαχίας, ἓν τῶν ὁποίων τοῦ Θεοδωρέσκου Σκούρτζα, ἀφιέρωμα εἰς τὸν ναὸν τῆς Παναγίας τοῦ Μουχλιοῦ, μεγάλος χρυσοῦς σταυρὸς τοῦ ναοῦ τοῦ Ἁγίου Δημητρίου τοῦ Κουρούτσεσμε τοῦ Κάτω Βοσπόρου, ἀφιέρωμα τοῦ ἡγεμόνος Σούτσου καὶ πολλὰ ἄλλα ναῶν τοῦ παλαιοῦ τμήματος τῆς Κωνσταντινουπόλεως καὶ κατεστράφησαν ἢ ἐκάησαν ξυλόγλυπτα εἰκονοστάσια ἀρκετῶν ναῶν, μεταξὺ τῶν ὁποίων ἐξεχώριζε, διὰ τὴν τέχνην του, ἐκεῖνο τοῦ ναοῦ τοῦ Ἁγίου Ἰωάνου, τοῦ παρὰ τὸ Φανάριον μετοχίου τοῦ Ὄρους Σινᾶ, αἰγυπτιακῆς ἰθαγενείας. Ἀπὸ τοὺς καταστραφέντας ἐξ ἄλλου πλείστους ὅσους πολυελαίους ἐκκλησιῶν, μεγάλης ἀξίας ἦτο ὁ τοῦ ναοῦ τῆς Ἁγίας Τριάδος Χαλκηδόνος, ἔργον τῆς Βιέννης, δωρεὰ δὲ τοῦ Παύλου Στεφάνοβικ Σκυλίτση.

ΣΤ. Π.

Σ η μ.—Ὁ δίδων τὰς πληροφορίας αὐτὰς εἶναι ὁ ἀπελαθεὶς πρὸ ὀλίγου δημοσιογράφος κ. Στ. Παπαδόπουλος.

† ΜΗΤΡΟΠ. ΚΟΡΥΤΣΑΣ ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ

ΑΓΙΑΣΜΑΤΙΟΝ ΘΡΑΚΗΣ ΚΑΙ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΤΑ ΙΕΡΑ ΛΟΥΤΡΑ

1. Τὸ ὕδωρ πρωταρχικὸν στοιχεῖον τῆς φύσεως—Καθάρσιον, ἰαματικόν, ἁγιαστικὸν ἀπὸ τῶν ἀρχαιοτάτων χρόνων—Ὠκεανός, πατὴρ θεῶν, τὸ θεμέλιον τῆς γηΐνης σφαίρας – Αἱ Νηϊρίδες τῆς Θράκης—Αἱ ὀρεστιάδες Νύμφαι τοῦ Παγγαίου—Αἱ Κρηνῖδες τῶν Φιλίππων καὶ ὁ ἀποστ. Παῦλος ἱδρύων ἐπὶ τῶν πηγῶν τὴν πρώτην ἐν Μακεδονίᾳ ἐκκλησίαν—Ὁ ποταμὸς βαπτιστήριον—Αἱ δρυάδες καὶ λιμνιάδες τῶν προαστείων τοῦ Βυζαντίου καὶ αἱ ἐρατιναὶ Βοσποριάδες—Κάλλη ἀνεκλάλητα—Ἡ ποιητικὴ ἔξαρσις τοῦ Βιζυηνοῦ καὶ Ταντταλίδου—Ἀποθέωσις τοῦ Βοσπόρου—Ἀργοναῦται, Ὀρφεὺς ἐξευμενίζων τὰς ναϊάδας—Οἱ «κυάνεοι βράχοι» ἢ συμπληγάδες πέτραι.

Ἡ καταπληκτικὴ τοῦ ὕδατος χρησιμότης εἰς ὅλας τοῦ βίου τὰς ἀνάγκας καὶ ἡ μυστηριώδης σύστασις αὐτοῦ προυκάλεσαν εἰς τοὺς πρωτογόνους ἀνθρώπους αἴσθημα θαυμασμοῦ, εὐγνωμοσύνης καὶ ἐν τέλει λατρείας. Σὺν τῷ χρόνῳ αἱ πηγαί, οἱ ποταμοί, αἱ λίμναι καὶ αἱ θάλασσαι ἐν τῇ μυθολογίᾳ τῶν ἀριανῶν φύλων ἐπροσωποποιήθησαν εἰς θεότητας τῶν ὑδάτων, προυκάλεσαν δὲ ποικίλους φανταστικοὺς μύθους. Εἰς τὴν Ριγβέδαν καὶ Ἀβέσταν, τὰ ἀρχαιότατα τῶν Ἰνδῶν ἱερὰ βιβλία, οἱ θεοὶ οὗτοι ἐπιδαψιλεύουσιν ἐξ οὐρανοῦ τὴν ἀμβροσίαν (τὸ μάννα τοῦ Ἰσραὴλ) καὶ αἱ μορφαὶ αὐτῶν περιβεβλημέναι τὴν ὑγρὰν φύσιν παρέχουσιν εἰς τὸ ὕδωρ πλὴν τῶν θρεπτικῶν καὶ σωτηριώδεις θεραπευτικὰς ἰδιότητας· καὶ ἐπιζητεῖται δι' αὐτῶν οὐ μόνον ἡ ὑγιεία τοῦ σώματος, ἀλλὰ καὶ ὁ ἐξαγνισμὸς τῆς ψυχῆς ἐκ τῶν ἀμπλακημάτων. Ὁ Ἰνδὸς καὶ ὁ Γάγγης ποταμὸς λατρεύεται ὡς οὐρανὸς καὶ ἡ «θεὰ Γάγγα» εἰς τὴν Ραμαγιάναν ἔτειτα ὡσαύτως. Ἀλλ' ἡ ἑλλην. μυθολογία ὑπερέβη τοὺς Ἰνδοὺς εἰς τὴν θεοποίησιν τῶν ὑδάτων [1].

Ὁ Ὠκεανὸς εἶναι πατὴρ θεῶν, «ὅς περ γένεσις πάντεσσι τέτυκται» καθ' Ὅμηρον (Ἰλιάδ. Ξ, 246) καὶ κατὰ τὸν πρῶτον φυσικὸν φιλόσοφον Θαλῆν ἀρχὴ τῶν ὄντων. Ἐν τῇ Π. Διαθήκῃ ὁ *Δαβὶδ* ψάλλει τῷ θαυμαστώσαντι ἐν τῇ δημιουργίᾳ θεῷ, «*τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων*»

1. Τὴν θεοποίησιν τῶν τῆς φύσεως στοιχείων ἐκτίθησιν ὁ μυστικοπαθὴς δελφικὸς ἱερεὺς *Πλούταρχος*, βλ. «Περὶ ποταμῶν καὶ ὀρῶν ἐπωνυμίας καὶ τῶν ἐν αὐτοῖς εὑρισκομένων», τόμ. VII τῶν Ἠθικῶν, ἔκδ. Βερν. 282. Συμφυρμὸς παλαιῶν καὶ νέων.

(Ψαλμ. ρλε', 6), εἰς τὰ ὁποῖα «ὅριον ἔθου, ὃ οὐ παρελεύσεται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν» (ργ',10) καὶ «αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν» (κγ',2).

Τούτου ἕνεκα καὶ ἡ ἁγία ἡμῶν ἐκκλησία ἐχρησιμοποίησε καὶ δαψιλῶς ἐπιδαψιλεύει τοῖς πιστοῖς τὸ ὕδωρ ὡς καθαρτικὸν καὶ διὰ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου πνεύματος ὡς *ζωτικήν, φωτιστικὴν καὶ ἁγιαστικὴν δύναμιν*. Κατὰ τὸν «Ποιμένα» (κεφ. ΙΙΙ. Μὴ ἔχων ἐνταῦθα τὸ πλῆρες ἑλλ. κείμενον παραπέμπω εἰς τὸν ΙΙ τόμον τοῦ *Migne,* ὅστις ἐν σ. 1254, λ. Ecclesia, παρενείρει τὸ χωρίον καὶ παραπέμπει εἰς σ. 981 τοῦ λατ. κειμένου) τοῦ *ἀποστ. πατρὸς Ἑρμᾶ* : «ἐπὶ τοῦ ὕδατος ᾠκοδόμηται ὁ πύργος τῆς ἐκκλησίας καὶ διὰ τοῦ ὕδατος ἡ ζωὴ ἡμῶν σέσωσται»· καὶ ἡ ἐκκλησία κατὰ τὰ Θεοφάνεια ψάλλει : «Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων βοᾷ λέγουσα. Δεῦτε λάβετε πάντες πνεῦμα σοφίας, πνεῦμα συνέσεως, πνεῦμα φόβου Θεοῦ τοῦ ἐπιφανέντος Χριστοῦ». *(Σωφρονίου πατρ. Ἱεροσολύμων).* Καὶ ὁ *Ἡσαΐας* προτρέπει : «Ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης . . Οἱ διψῶντες πορεύεσθε ἐφ' ὕδωρ καὶ ὅσοι μὴ ἔχητε ἀργύριον βαδίσαντες ἀγοράσατε, καὶ φάγεσθε καὶ πίεσθε ἄνευ ἀργυρίου καὶ τιμῆς οἶνον καὶ στέαρ». Κατὰ τὸν *Ἰω. Δαμασκηνόν* : «δι' ὕδατος πᾶς ἀκάθαρτος κατὰ τὸν νόμον καθαίρεται καὶ σχεδὸν ἅπαντα ὕδατι καθαρίζεται»· διότι «ἀπ' ἀρχῆς πνεῦμα Θεοῦ τοῖς ὕδασι πνεῦμα Θεοῦ ἐπεφέρετο». Ἐπὶ Νῶε δι' ὕδατος ὁ Θεὸς τὴν κοσμικὴν ἁμαρτίαν κατέκλυσεν» [1]. Ἄλλως τὸ ὕδωρ εἶναι κοινότατον καὶ προσιτὸν τοῖς πᾶσιν, ἅμα δὲ καὶ καθαρτικόν, ὥστε νὰ μὴ δυσκολευθῇ ὁ θέλων τὴν ἀναγέννησιν, ἀλλὰ νὰ δύναται νὰ εἴπῃ τὸ τοῦ εὐνούχου πρὸς τὸν *Φίλιππον* : «ἰδοὺ ὕδωρ, τί μὲ κωλύει βαπτισθῆναι» ; (Πράξ. η', 30). Οἱ Ἕλληνες ἐδημιούργησαν ὡραίας Νύμφας καὶ καλλιπλοκάμους Νηρηΐδας εἰς τοὺς δρυμοὺς καὶ τὴν θάλασσαν, ὡς ὁ ἡδύμολπος τῆς Βιζύης ἀοιδὸς ψάλλει :

«Ἰδοὺ τὸ ῥεῖθρον τὸ πλατὺ
κ' ἡ βρύση ἡ ὡραία
καὶ ἡ κοιλὰς στεφανωτὴ
μὲ δένδρα γηραλέα . . .
Κι' ὁ νέος εἶδε προχωρῶν
Νυμφῶν λευχείμονα χορὸν
σοβοῦντα μετ' ᾀσμάτων
διὰ τῶν φυλλωμάτων . . .

Ἐν μέσῳ ἡ ἐρατεινὴ
ὁμὰς τῶν Νηρηΐδων.
μολπὰς ἐρώτων συμφωνεῖ
πρὸς τόνους τῶν πηκτίδων.
Εἰς θύρσους πλέκουν τὸν κισσὸν
καὶ κοῦφον αἴρουσαι ταρσὸν
ἀλλήλαις ἐκβακχεύουν
καὶ παίζουν καὶ χορεύουν» [2].

